N. 194

# ΑΚΟΛΟΥΘΙΑ ΤΟΥ ΟΣΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ
# ΠΟΙΜΕΝΟΣ
## ΚΑΙ ΤΟΥ ΑΓΙΟΥ ΜΕΓΑΛΟΜΑΡΤΥΡΟΣ
# ΦΑΝΟΥΡΙΟΥ ΤΟΥ ΝΕΟΦΑΝΟΥΣ

**Ψαλλομένη τὴν 27 Αὐγούστου**

Προσετέθησαν δὲ ἐν τῷ τέλει ὁ βίος τοῦ Ἁγίου Φανουρίου οἱ 24 οἶκοι τοῦ Ἁγίου Μεγαλομάρτυρος Γεωργίου τοῦ τροπαιοφόρου, ἐγκώμιον κατὰ ἀλφάβητον εἰς τὴν Θεοτόκον. Καὶ εἰς Παρακλητικὸς κανὼν εἰς τὴν Ἁγίαν Θεοδώρα. καὶ διάφορα Μεγαλυνάρια. Ἀξιώσει καὶ θερμεῖ ἐπιμελείᾳ τοῦ ἐλαχίστου ἐν Ἱερεῦσι Γεωργίου Α. Βουτέρη ἐφημερίου τοῦ Ναοῦ τοῦ Ἁγίου Κωνσταντίνου. Καὶ τοῦ Διδασκάλου Κ. Βασιλείου Ζώτου Μελισσοῦ.



Αἰνεῖτε τὸ ὄνομα Κυρίου
αἰνεῖτε δοῦλοι Κύριον.

Τοῖς Ἁγίοις τοῖς ἐν τῇ
αὐτοῦ ἐθαυμάστωσεν ὁ
Κύριος.

Χαῖρε Κεχαριτωμένη ὁ Κύριος μετὰ σοῦ.
Πρὸς ὠφέλειαν τῶν ὀρθοδόξων Χριστιανῶν.
Ἐν Ἀθήναις 8)βριος 1899

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΑΣΤΡΑΤΟΥ
X 858
Petit pag. 237 N. 7

# ΑΚΟΛΟΥΘΙΑ ΤΟΥ ΟΣΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΠΟΙΜΕΝΟΣ

ΚΑΙ ΤΟΥ ΑΓΙΟΥ ΜΕΓΑΛΟΜΑΡΤΥΡΟΣ

# ΦΑΝΟΥΡΙΟΥ ΤΟΥ ΝΕΟΦΑΝΟΥΣ

Ψαλλομένη τὴν 27 Αὐγούστου

Ὑπὸ τοῦ ἐλαχίστου ἐν Ἱερεῦσι **Γεωργίου Α. Βουτέρη**
Ἐφημερίου τοῦ ἐνταῦθα Ἱεροῦ ναοῦ τοῦ Ἁγίου Κωνσταντίνου.



Ὁ Ἅγιος Φανούριος

## ΑΥΓΟΥΣΤΟΣ 26

Τῶν Ἁγίων Μαρτύρων Ἀδριανοῦ καὶ Ναταλίας, καὶ τοῦ Ὁσίου Πατρὸς ἡμῶν Ἰωάσαφ Βασιλέως Ἰνδίας.

Τῇ αὐτῇ ἡμέρᾳ τῶν Ἁγίων Μαρτύρων Ἀττικοῦ καὶ Σισινίου, τοῦ Ἁγίου μάρτυρος Ἀδριανοῦ, τοῦ Ὁσίου Πατρὸς ἡμῶν Ἰβιστίωνος, τῶν Ἁγίων 23 Μαρτύρων τῶν συναθλησάντων τῷ Ἁγίῳ Ἀδριανῷ, καὶ τοῦ Ὁσίου Πατρὸς ἡμῶν Τιθόη.

Ταῖς αὐτῶν ἁγίων πρεσβείαις ὁ Θεὸς ἐλέησον καὶ σῶσον ἡμᾶς.

Ἀπολυτίκιον Ἁγίου Ἀδριανοῦ ἦχος γ'. Θείας Πίστεως.

Ἀναφαίρετον ὄλβον ἡγήσω, τὴν σωτήριον πίστιν τρισμάκαρ· καταλίπων τὴν πατρώαν ἀσέβειαν, καὶ τῷ Δεσπότῃ κατ' ἴχνος ἑπόμενος κατεπλουτισθεὶς ἐνθέοις χαρίσμασιν· Ἀδριανὲ ἔνδοξε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἕτερον Ὁσίου Ἰωάσαφ. Ἦχος α'. Τοῦ λίθου σφραγισθέντος.

Ἀσέβειαν μισήσας, ἐκ Βαρλαὰμ διδασκόμενος, εὐσέβειαν ἐτρώθης, Ἰωάσαφ τρισόλβιε· ἀφῆκας βασιλείαν πατρικήν, καὶ ἄρας ἐπ' ὤμων τὸν Σταυρόν, προσῆλθες ἐν ἐρήμῳ, σὺν ἐκεῖνον τῷ Χριστῷ μόνῳ λατρεύοντες· ὅθεν καὶ πιστῶς ἡμᾶς τιμῶ καὶ πόθῳ κραυγάζω ἡμῖν· ὁδηγήσατε καμὲ πρὸς τρίβον σωτήριον.

Κοντάκιον Ἁγ. Ἀδριανοῦ ἦχ. δ' Ἐπεφάνης σήμερον.

Γυναικὸς θεόφρονος, τοὺς θείους λόγους, ἐν καρδίᾳ θέμενος Ἀδριανὲ μάρτυς Χριστοῦ, ἐν ταῖς βασάναις προσέδραμες, σὺν τῇ συζύγῳ τῷ στέφος δεξάμενος.

Κοντάκιον τοῦ Ὁσίου ἦχ. πλ. δ' τῇ ὑπερμάχῳ στρατηγῷ.

Τὸν τῆς ἁγνείας ἐραστὴν καὶ μέγαν πρόμαχον, τὸν τὴν εὐσέβειαν Χριστοῦ ἀνακηρύξαντα, καταχρέως ἀνυμνοῦμεν Ἰωάσαφ, σὺ γὰρ ὤφθης τοῖς πιστοῖς ἡμῶν, κραταίωμα, καὶ ἑδραίωμα τῆς Ἐκκλησίας ἀδιάσειστον· ὅθεν κράζωμεν, χαίροις Πάτερ τρισόλβιε.

Μεγαλυνάριον Ἁγίου Ἰωάσαφ.

Χαίροις ἄναξ Ἰωάσαφ θαυματουργέ. Χαίροις ὁ προστάτης τῶν ἐν ἀσκήσει ἀσκουμένων καὶ ὑπερασπιστής, ὁ χορηγῶν τοῖς πᾶσι ψυχῶν τε καὶ σωμάτων ἀξιοθαύμαστε.



## ΑΥΓΟΥΣΤΟΥ 27

Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Ποιμένος, καὶ τοῦ Ἁγίου ἐνδόξου μεγαλομάρτυρος Φανουρίου τοῦ Νεοφανοῦς.

Ἑσπέρας μετὰ τὸ Προοιμιακόν, στιχολογοῦμεν τὸ Μακάριος ἀνήρ, εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους στ' καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια ἦχος πλ. δ'. Τοῦ Ὁσίου Ποιμένος Τρία. Τί ἡμᾶς καλέσωμεν.

Τί σὲ νῦν Ποιμὴν ὀνομάσωμεν; Μοναστῶν ὑπογραμμόν, καὶ ἰαμάτων αὐτουργόν, ἐγκρατείας ταῖς πληγαῖς, πάθη μαστίξαντα ψυχῆς· πολίτην τῶν Ἀγγέλων καὶ συνόμιλον· τῆς ἄνω, μητροπόλεως οἰκήτορα τῶν ἀρετῶν ἐνδιαίτημα, τὸν τῆς ἐρήμου κοσμήτορα. Ἱκέτευε, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Τί σὲ νῦν Ποιμὴν προσφθεγξώμεθα; τῆς ἐρήμου πολιστήν, καὶ ἡσυχίας ἐραστήν· τῶν παθῶν ἐκμειωτήν, καὶ μοναστῶν καθηγητήν· πλημμύραν, δὲ δογμάτων θείου Πνεύματος· φωστῆρα, διακρίσεως ἀκοίμητον θαυματουργὸν ἀληθέστατον, πάθη ποικίλα ἰώμενον. Ἱκέτευε τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Λύχνος διακρίσεως γέγονας, καταυγάζων τὰς ψυχὰς τῶν προσιόντων σοι πιστοῖς, καὶ τὴν τρίβον τῆς ζωῆς ὑποδεικνὺς αὐτοῖς σοφέ· διὸ σέ, ἐν αἰνέσει μακαρίζωμεν, τελοῦντες τὴν ἁγίαν σου πανήγυριν Ποιμὴν Πατέρων τὸ καύχημα, τῶν Ἀσκητῶν ἐγκαλλώπισμα ἱκέτευε τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἕτερα τοῦ Ἁγίου Φανουρίου τρία. Ἔδωκας σημείωσιν.

Στυλὸν εὐσεβείας τε καὶ στρατιώτην ἀήττητον, οἱ πιστοὶ σὲ γινώσκομεν, Φανούριε ἔνδοξε, ὡς νέον φανέντα ἐν τῇ Ἐκκλησίᾳ, ἣν καταυγάζεις ὡς ὁ ἀστήρ, καὶ τὰ τοῦ κόσμου φωτίζεις πέρατα, δι' ὃ Χριστὸς ὁ Κύριος, ὁ ἐν ὑψίστοις καθήμενος, τοῖς πιστοῖς σὲ ἐδήλωσε, τὸν πρὸ πάλαι κρυπτόμενον.

Ἔστης τῆς ἐφέσεως οἷα περ φθάσας τὸ ἔσχατον, ὀρεκτῶν παναοίδιμε, φωτὸς ἀξιούμενος, ᾧ φωτίζεις πάντας,

τοὺς σὲ εὐφημοῦντας, καὶ φανεροῖς τὰ ἐν κρυπτῷ, ὡς ἐνεστῶτα Μάρτυς Φανούριε, δι' ὅ σοῦ τὸ σεβάσμιον, περιχυκλοῦμεν εἰκόνισμα, ἐν αὐτῷ κατοπτεύοντες, τὰ φρικτά σου μαρτύρια.

Εὑρέσει εἰκόνος σου, καὶ τοῦ Ναοῦ τοῦ 'Αγίου σου, ἡ Θεόσωστος Πόλις σου, ἡ Ρόδος εὐφραίνεται, ῥύστην σε πλουτοῦσα, καὶ πρόμαχον μέγαν, καὶ τῶν θαυμάτων τὴν πληθὺν, ἃ διανέμεις τοῖς προσιοῦσί σε, δοξάζει ἐκτελοῦσα σου, τὴν σεβασμίαν πανήγυριν, ἀθλοφόρε Φανούριε, πρεσβευτὰ τῶν ψυχῶν ἡμῶν.

Δόξα ἦχ. πλ. β'.

Ξένα καὶ παράδοξα θαύματα, ὁ Κύριος ἐν τοῖς ἁγίοις αὐτοῦ ἐθαυμάστωσεν ἑκάστοτε, μεθ' ὧν καὶ ἐν ὑστέροις καιροῖς, τὸν θαυμαστὸν ἐν μάρτυσι Φανούριον ἄλλον ἥλιον ἀνέδειξε τοῖς θαύμασι λάμποντα· πρὸς ὃν καὶ ἡμεῖς τὸν ὕμνον προσφέρωμεν λέγωντες· χαίροις ὁ νεοφανὴς ἀστὴρ τῆς τοῦ Χριστοῦ 'Εκκλησίας, καὶ Μαρτύρων ἀγλάϊσμα, χαίροις ὁ τῶν ἀγῶνα ὑπὲρ Χριστοῦ ἀθλήσας στερρῶς ἐν γῇ δὲ πλείστοις ἔτεσι κρυπτόμενος, διὰ τῆς εὑρέσεως εἰκόνος τῆς σῆς, ἐν κόσμῳ πεφανέρωσαι παρὰ τοῦ ἀθλοθέτου Χριστοῦ· χαίροις Ροδίων τὸ ἐγκαλώπισμα, καὶ τῶν πιστῶν πρεσβευτὰ ἑτοιμώτατε αὐτῷ μὴ παύσῃ πρεσβεύων ὑπὲρ τῶν πίστει καὶ πόθῳ τιμώντων τὴν σεβασμίαν μνήμην σου.

Καὶ νῦν Θεοτοκίον

Τίς μὴ μακαρίσει σε, Παναγία Παρθένε; τίς μὴ ἀνυμνήσει σοῦ τὸν ἀλόχευτον τόκον; ὁ γὰρ ἀχρόνως ἐκ Πατρὸς ἐκλάμψας Υἱὸς μονογενὴς ὁ αὐτὸς ἐκ σοῦ τῆς ἁγνῆς προῆλθεν ἀφράστως σαρκωθεὶς, φύσει Θεὸς ὑπάρχων, καὶ φύσει γενόμενος ἄνθρωπος δι' ἡμᾶς, οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ' ἐν δυάδι φύσεων ἀσυγχύτως γνωριζόμενος Αὐτὸν ἱκέτευε, σεμνὴ Παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἴσοδος. Τὸ φῶς ἱλαρόν. Τὸ προκείμενον τῆς ἡμέρας, καὶ τὰ 'Αναγνώσματα.

Προφητείας 'Ησαΐου τὸ ἀνάγνωσμα.

Τάδε λέγει Κύριος· πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν· τίς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς; ἢ τὰ



ἐξ ἀρχῆς, τίς ἀκουστὰ ποιήσει ἡμῖν· ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν, καὶ δικαιοθήτωσαν καὶ εἰπάτωσαν ἀληθῆ· γίνεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς Κύριος ὁ Θεὸς, καὶ ὁ παῖς ὃν ἐξελεξάμην· ἵνα γνῶτε καὶ πιστεύσητε, καὶ συνῆτε ὅτι ἐγώ εἰμι, ἔμπροσθεν μου, οὐκ ἐγένετο ἄλλος Θεὸς, καὶ μετ' ἐμὲ οὐκ ἔσται. 'Εγώ εἰμι ὁ Θεὸς, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σώζων. 'Εγὼ ἀνήγγειλα καὶ ἔσωσα· ὠνείδησα, καὶ οὐκ ἦν ἐν ἡμῖν Θεὸς ἀλλότριος· ἡμεῖς ἐμοὶ μάρτυρες, καὶ ἐγὼ Κύριος ὁ Θεός· ἔτι ἀπ' ἀρχῆς ἐγώ εἰμί; καὶ οὐκ ἔστιν ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος· ποιήσω, καὶ τίς ἀποστρέψει αὐτό, οὕτω λέγει Κύριος ὁ Θεὸς, ὁ λυτρούμενος ἡμᾶς, ὁ Ἅγιος 'Ισραήλ.

Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος· Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνᾶναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα· οἱ δὲ εἰσὶν ἐν εἰρήνῃ, καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης· καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ· ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς· καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται· κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει Κύριος εἰς τοὺς αἰῶνας· οἱ πεποιθότες ἐπ' αὐτῶν συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ ὑψίστῳ· διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτοὺς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ποιήσει τὴν κρίσιν εἰς ἄμυναν ἐχθρῶν, ἐνδύσεται θώρακα δικαιοσύνην, καὶ περιθήσεται κόρυθα κρίσιν ἀνυπόκριτον· λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα, ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν, συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας, πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν καὶ ὡς ἀπὸ κύκλου τόξου τῶν νεφῶν ἐπὶ σκοπὸν ἁλοῦνται καὶ ἐκ πετροβόλου θυμοῦ, πλήρεις ῥιφθήσονται χάλαζαι. 'Αγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως· ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς· καὶ ἐρημώσ

σει πᾶσαν τὴν γῆν ἀνομίας καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν· ἀκούσατε οὖ βασιλεῖς καὶ σύνετε, μαθετε δικασταὶ περάτων γῆς· ἐνωτίσασθαι οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλους ἐθνῶν, ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δεναστεία παρὰ ὑψίστου.

Εἰς τὴν Λιτήν. Ἰδιόμηλα. ἦχ. ά Νικηφόρου.

Ἐπεφάνη σήμερον, ἡ χάρις τῶν θαυμάτων σου, Φανούριε πανθαύμαστε μάρτυς τοῦ Χριστοῦ, ἐν τῇ εὑρέσει τοῦ πανσέπτου ναοῦ σου, καὶ τῆς θείας εἰκόνος σου, ἐκχμαλώτους λυτροῦσα, νόσους φυγαδεύουσα, καὶ πάντων τῶν προσιόντων σοι πιστῶς, τὰ πρὸς σωτηρίαν αἰτήματα πληροῦσα, διὸ καὶ καὶ ἡμῖν τοῖς μετὰ πόθου τὴν μνήμην τελοῦσι σου, τὴν λύσιν τῶν δεινῶν αἴτησαι παρὰ Θεοῦ, καὶ πταισμάτων τὴν συγχώρησιν, ταῖς πρὸς αὐτὸν εὐπροσδέκτοις ἱκεσίαις σου. Δοξα ἦχ. πλ. ά

Σήμερον ἡ ἁγιόφθογγος ῥῆσις τοῦ Δαυΐδ, ἐπὶ σοὶ πέρας εἴληφεν, Φανούριε πολύαθλε, εἰς μνημόσυνον αἰώνιον φάσκουσα, ἔσται δίκαιος· ὡς γὰρ ἀμνημονηθέντων σου τῷ χρόνῳ τοῦ πανσέπτου ὀνόματος, καὶ τῶν ἀθλητικῶν ἀγώνων τοῦ κλέους, ἐν οὐρανῷ μέν τοι μνημονευομένων, καὶ ἐν γῇ ἤδη ἐν τῇ εὑρέσει τῆς θείας εἰκόνος σου, τὴν ἔνδοξον αὐτῶν μνήμην μετ' ἐγκομίων ἄγωμεν· δεόμεθα σου τοίνυν θερμῶς ὡς ἔχων παρρησίαν πρὸς Χριστὸν, μνημόνευε ἡμῶν τῶν εὐφημούντων σε, ρυόμενος κυνδύνων τε καὶ θλίψεων ταῖς πρὸς αὐτῶν ἱκεσίαις σου.

Καὶ νῦν. Θεοτοκίον.

Μακαρίζομέν σε Θεοτόκε Παρθένε, καὶ δοξάζομέν σε οἱ πιστοὶ κατὰ χρέος τὴν πόλιν τὴν ἄσειστον, τὸ τεῖχος τὸ ἄρρηκτον, τὴν ἀρρωγῆ προστασίαν καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.

Εἰς τὸν στίχον Στιχηρὰ Προσόμοια. ἦχ. δ' Ὡς γενναῖον ἐν μάρτυσιν.

Ὥσπερ ρόδον πανεύοσμον, ἡ ἐν δόξῃ ἐκλάμπουσα, Ρόδος ἡ περίφημος, εὑρημένη σε, χαίροι· ὀσμαῖς τῶν θαυμάτων σου, πλησθεῖσα Φανούριε, καὶ δοξάζει σε πιστῶς, καὶ προστρέχει τῇ σκέπῃ σου, τῆς εἰκόνος σου εὐσεβῶς προσ-



κυνοῦσα χαρακτῆρα, καὶ θαυμάτων τὰ σημεῖα, ἃ σοὶ Θεῷ ἐδωρήσατο.

Στίχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις.

Ἐξεπλάγησαν ἅπαντες, τὰ ἐξαίφνης βλεπόμενα, τῆς σεπτῆς εἰκόνος σου, πάθη ἔνδοξε, τὰ πλείστοις χρόνοις ἀγνώριστα, ὦ θεῖε Φανούριε, καὶ ναὸν περικαλλῆ διὰ τοῦτο ἀνήγειραν, καὶ ηὐτρέπισαν, ὑμνῳδίαις ἐνθέοις εὐφημοῦντες τὸν δοξάσαντα σε μάρτυς, θαυμάτων πλήθη καὶ χάρισι.

Στίχ. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ.

Τούτου βίος ἀγνώριστος, τοῖς ἀνθρώποις διέμενε, μόνῳ γινοσχόμενος τῷ Θεῷ ἡμῶν, τὸ δὲ αὐτοῦ ἐξεικόνισμα, βεβήλωκεν ἄριστα οἷος ἦν πρὸς τὸν Θεὸν, νικητὴς φανερούμενος, τοῦ ἀλάστορος καὶ σεπτῶς ἀθλόφορος ὃν ὑμνοῦμεν, καὶ γεραίρωμεν ἐκ πόθου ὡς ἀθλητὴν γενναιότατον.

Δόξα ἦχος πλ. δ'

Ἄστρον φαεινότατον, ἐπέλαμψε τοῖς πέρασι σήμερον καὶ τῶν πιστῶν τὰς καρδίας ἐφώτισε· τὸν γὰρ ἐν Ρόδῳ κρυπτόμενον θεῖος ναὸν, ὁ Κύριος ἐφανέρωσεν, οἰκητὴν ἔχοντα τὸν μέγαν ἐν μάρτυσι Φανούριον, τὸν ἔνδοξον στρατιώτην καὶ ἀήττητον, ὃν εὐφημοῦντες ἐν ὕμνοις ἱκετεύομεν. ὅπως πρεσβεύῃ ὑπὲρ ἡμῶν τῶν ἐν πίστει τελούντων τὴν ἀεισέβαστον αὐτοῦ καὶ θειαν πανήγυριν.

Καὶ νῦν. Θεοτοκίον.

Ἐγὼ Παρθένε Ἁγία Θεοτόκε, τῇ σκέπῃ σου προστρέχω· οἶδα ὅτι τεύξωμαι τῆς σωτηρίας· δύνασαι γὰρ Ἁγνὴ βοηθῆσε μοι,

Νῦν ἀπολύεις. Τὸ Τρισάγιον, καὶ τὰ ἀπολυτίκια τοῦ Ὁσίου.

Ἦχ. δ' Ταχὺ προκατάλαβε.

Χορείαν τὴν ἔνθεον, δεῦτε κροτήσωμεν, τιμῶντες ἐν ᾄσμασι τὸν ἀσκητὴν τοῦ Χριστοῦ, ἐκ πόθου κραυγάζοντες, χαίροις ὅσιε Πάτερ καὶ Ποιμὴν γενναιόφρον, χαίροις ὅτι

τὸ σῶμα, ἔτιξας τῇ ἀσκήσει, χαίροις ὅτι παρέχεις τοῖς πιστοῖς τὰς ἰάσεις, διὸ καὶ ἡμεῖς ἀξιοχρέως τιμῶμεν σε.

Δόξα τοῦ Ἁγίου Φανουρίου ὁ αὐτός.

Οὐράνιον ἐφύμνιον, ἐν γῇ τελεῖται λαμπρῶς, ἐπίγειον πανήγυριν νῦν ἑορτάζει φαιδρῶς, Ἀγγέλων πολύτευμα, ἄνωθεν ὑμνῳδίαις, εὐφημοῦσι τοὺς ἄθλους, κάτωθεν Ἐκκλησία, τὴν οὐράνιον δόξαν· ἣν ρες εὐπόνοις καὶ ἄθλοις τοῖς σοῖς Φανούριε ἔνδοξε·

Καὶ νῦν Θεοτοκίον.

Τὸ ἀπ' αἰῶνος ἀπόκρυφον, καὶ Ἀγγέλοις ἄγνωστον μυστήριον, διὰ σοῦ Θεοτόκε τοῖς ἐπὶ γῆς πεφανέρωται· Θεὸς ἐν ἀσυγχύτῳ ἑνώσει σαρκούμενος καὶ Σταυρὸν ἑκουσίως ὑπὲρ ἡμῶν καταδεξάμενος· διὸ ἀναστήσας τὸν πρωτόπλαστον ἔσωσεν ἐκ θανάτου τὰς ψυχὰς ἡμῶν.

## Τέλος τῆς Ἀκολουθίας τοῦ Ἑσπερινοῦ.

---

Εἰς τὸν Ὄρθρον. Μετὰ τὴν ά Στιχολογίαν Κάθισμα
Ἦχος ά. Τὸν τάφον σου Σωτήρ.

Τὸν μέγαν ἀθλητήν, εὐφημήσωμεν πάντες, Φανούριον πιστοί, τὸν γενναῖον ὁπλίτην, καὶ ἔνδοξον μάρτυρα, τὸν ἐν χρόνοις κρυπτόμενον, ὃν ὁ Κύριος, νῦν ἐφανέρωσε πᾶσιν ἐν τῇ Ῥόδῳ τε καὶ ἐξ αὐτῆς παντὶ κόσμῳ, ὡς θεῖον θησαύρισμα.

Δόξα καὶ νῦν Θεοτοκίον.

Ἀΰλων στρατιῶν, ὑπερέχουσα Κόρη, καὶ τάξεις οὐρανῶν, ὑπερβαίνουσα μόνη, ἐπάξιον τὴν αἴνεσιν, παρ' αὐτῶν δέχθητι Πάναγνε, ἀλλὰ πρέσβευε, τῷ σῷ Υἱῷ σὺν Ἀγγέλοις, τοῦ ρυσθῆναί με τῆς τῶν παθῶν τυραννίδος, τὸν μόνον κατάκριτον.

Μετὰ τὴν β' Στιχολογίαν Κάθισμα. Ἦχος δ'. Ταχὺ προκατάλαβε.

Ἀθλήσεως καύχημα, μάρτυς Φανούριε, Χριστὸν ἐνδυ-



σάμενος κατεπολέμησας ἐχθρὸν τὸν παμπόνηρον, ὅθεν νῦν τὴν εἰκόνα τὴν σεπτήν σου εὑρόντες, ᾄσμασιν εὐφημοῦμεν καὶ τιμῶμεν ἐν πίστει, καὶ πόθῳ δεόμεθα, ῥῦσαι ἡμᾶς πειρασμῶν.

Δόξα καὶ νῦν Θεοτοκίον.

Ἡ μόνη κυήσασα, τὸν Ποιητὴν τοῦ παντός, ἡ μόνη κοσμήσασα τὴν ἀνθρωπότητα, τῷ τόκῳ σου ἄχραντε, ῥῦσαί με τῶν παγίδων, τοῦ δολίου Βελίαρ, στῆσόν με ἐπὶ πέτραν τῶν Χριστοῦ θελημάτων, αὐτὸν ἐκδυσοποῦσα θερμῶς ὃν ἐσωμάτωσας.

Μετὰ τὸν Πολυέλεον Κάθισμα, Ἦχος δ' Ἐπεφάνης σήμερον.

Ἡ Εἰκὼν ὑπέρλαμπρος, νῦν ἀνεφάνη, ἡ ἐν γῇ καὶ χώμασι, χρόνοις ἐκρύπτετο πολλοῖς, δόξαν τὴν σὴν ἐμφανίζουσα, ἣν ἔχεις Μάρτυς ἐν οὐρανῷ πρὸς Θεόν.

Δόξα καὶ νῦν Θεοτοκίον.

Προστασία ἄμαχε, τῶν θλιβομένων, καὶ θερμὴ ἀντίληψις τῶν πεποιθότων ἐπὶ σέ, ἀπὸ κινδύνων ἡμᾶς λύτρωσαι, σὺ γὰρ ὑπάρχεις ἡ πάντων βοήθεια.

Εἶτα οἱ Ἀναβαθμοὶ τοῦ δ ἤχου· Προκείμενον. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ· Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος. Τὸ Πᾶσα πνοὴ καὶ τὸ Εὐαγγέλιον.

Ἐκ τοῦ κατὰ Λουκᾶν.

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς, προσέχετε ἀπὸ τῶν ἀνθρώπων· ἐπιβαλοῦσι γὰρ ἐφ' ὑμᾶς τὰς χεῖρας αὐτῶν, καὶ διώξουσι, παραδιδόντες εἰς συναγωγὰς καὶ φυλακάς, ἀγομένους ἐπὶ βασιλεῖς καὶ ἡγεμόνας, ἕνεκεν τοῦ ὀνόματός μου. Ἀποβήσεται δὲ ὑμῖν ὡς μαρτύριον. Θέσθε οὖν εἰς τὰς καρδίας ὑμῶν, μὴ προμελετᾶν ἀπολογηθῆναι· ἐγὼ γὰρ δώσω ὑμῖν στόμα καὶ σοφίαν ᾗ οὐ δυνήσονται ἀντειπεῖν, οὐδὲ ἀντιστῆναι πάντες οἱ ἀντικείμενοι ὑμῖν. Παραδοθήσεσθε δὲ καὶ ὑπὸ γονέων, καὶ ἀδελφῶν, καὶ συγγενῶν, καὶ φίλων· καὶ θανατώσουσιν ἐξ ὑμῶν· καὶ ἔσεσθε μισούμενοι ὑπὸ πάντων διὰ τὸ ὄνομά μου· καὶ θρὶξ καὶ ἐκ τῆς κεφαλῆς ὑμῶν οὐ μὴ ἀπόληται. Ἐν τῇ ὑπομονῇ ὑμῶν κτήσασθε τὰς ψυχὰς ἡμῶν.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛ ... ΝΤΟΡΗΣ ΠΑΠΑ

Εἶτα τὸ Ν. Ταῖς τοῦ ἀθλοφόρου. Καὶ νῦν Ταῖς τῆς Θεοτόκου Εἶτα τὸ Ἰδιόμελον Ἐλέησον ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου ἦχ. β'

Σήμερον ἡ οἰκουμένη πᾶσα, ταῖς τοῦ ἀθλοφόρου αὐγάζεται ἀκτῖσι, καὶ ἡ τοῦ Χριστοῦ Ἐκκλησία τοῖς ἄσμασιν ὡραϊζομένη, Φανούριε βοᾶσοι Θεράπον Χριστοῦ, καὶ προστάτα ἡμῶν θερμότατε· μὴ ἐλλείπης πρεσβεύειν ὑπὲρ ἡμῶν πρὸς Κύριον.

Τὸ σῶσον ὁ Θεὸς τὸν λαόν σου. Καὶ οἱ Κανόνες τῆς Θεοτόκου, τοῦ Ὁσίου Ποιμένος καὶ τοῦ Ἁγίου Φανουρίου ὅλοι ὁμοῦ εἰς ἦχον πλ. δ' Ὑγρὰν διοδεύσας. Ὠδὴ ά.
Ταύτῃ καὶ ἡ δέησις ὀγδόη πρέπει. Φωτίου. Θεοτοκάριον σελ. 111.

Τὸ στόμα μου πλήρωσον γλυκασμοῦ, τοῦ θείου σοῦ Κόρη, καὶ κατάλαμψόν μου τὸν νοῦν, ὅπως ἀνυμνῶ καὶ μεγαλύνω, τῶν οἰκτιρμῶν σου τὸ ἄπειρον πέλαγος.

Ἀσθενοῦσαν πάθεσι χαλεποῖς, τὴν πολυπαθῆ μου καὶ οἰκτρὰν καὶ βαρυαλγῆ, καρδίαν ἰάτρευσον Παρθένε, τὸν ἰατρὸν τῶν ψυχῶν ἡ γεννήσασα.

Ὑπέρτερον δεῖξόν με ἡδονῶν, σαρκικῶν τε, καὶ μερίμνων βιοτικῶν, τῶν ἄνω ταγμάτων ὑπερτέρα, καὶ λαμπροτέρα ἡλίου θεόνυμφε,

Τὴν εὐλογημένην ἐν γυναιξί, καὶ δεδοξασμένην ἱκετεύωσε τῆς φωνῆς, τῆς εὐλογημενης ἐπακούσας τοῦ σοῦ υἱοῦ, καὶ τῆς δόξης με τυχεῖν.

Κανὼν τοῦ Ὁσίου Ποιμένος ὁ αὐτός. Ἄσωμεν τοῦ Κυρίου. Θεοφάνους.

Θέρμῃ τοῦ Παρακλήτου, Πάτερ θαλπομένη ἡ καρδία σου, τὸν κρυμὸν τῶν δαιμόνων, καὶ παθῶν τῶν χειμῶνα διέλυσε.

Ἄνθρακα θείου φόβου, φλέξας τῶν παθῶν, τὴν ὕλην γέγονας, διακρύσεως λύχνος ἀπαθείας πυρσός τε Μακάριε.

Φέρων ἐπὶ τῶν ὤμων Πάτερ τὸν Σταυρόν σου ἠκολούθησας, τῷ καλέσαντι πόθῳ, καὶ φωστὴρ μοναστῶν ἐχρημάτησας.

Θεοτοκίον.

Ὅλος με διασώζει, Λόγος ὁ ὑπέρθεος χρηστότητι, βουληθεὶς ἐκ γαστρός σου, σαρκωθῆναι Ἁγνὴ Μητροπάρθενε.



Ἁγίου Φανουρίου ὁ αὐτὸς ἦχος. Ὑγρὰν διοδεύσας.

Αἰνέσωμεν πάντες πιστοὶ Χριστόν, τὸν δόντα σοι τοιαύτην, ἐξουσίαν τοῖς χοϊκοῖς δολίου τὰ θράση καταλύειν, μεθ' ὧν ὑμνείσθω φαιδρῶς ὁ Φανούριος.

Φῶς θεῖον ἐδείχθης ἀειλαμπές, Φανούριε μάρτυς, καὶ τὸν κόσμον φωταγωγεῖς, ἐν ᾧ σε φωστῆρα εὑρηκότες ἄσμασι θείοις εὐφημοῦμεν σε.

Δόξα πατρί.

Τὸν νέον ὁπλίτην καὶ ἀθλητὴν φανέντα ἐν Ῥόδῳ κἂν ἐκρύπτετο πρὸ πολλοῦ, ὡς νέον ὑμνοῦμεν, καὶ ὡς πάλλαι ὑπὲρ Χριστοῦ στερρῶς ἀθλήσαντα.

Καὶ νῦν. Θεοτοκίον.

Ὅλον μου τὸν πόθον πρός σε κινῶ, ἀνύμφευτε Μῆτερ, ἡ τεκοῦσα τὸν λυτρωτήν, ψυχήν μου ἀθλίαν ἐν τῇ ὥρᾳ τῆς καταδίκης ἐλευθέρωσον.

Καταβασία. Ηχ. πλ. δ' ὁ αὐτός.

Σταυρὸν χαράξας Μωσῆς, ἐπ' εὐθείας ῥάβδῳ, τὴν Ἐρυθρὰν διέτεμε, τῷ Ἰσραὴλ πεζεύσαντι. τὴν δὲ ἐπιστρεπτικῶς, Φαραὼ τοῖς ἅρμασι, κροτήσας ἥνωσεν, ἐπ' εὔρους διαγράψας, τὸ ἀήττητον ὅπλον Διὸ Χριστῷ ᾄσωμεν τῷ Θεῷ ἡμῶν ὅτι δεδόξασται.

Ὠδὴ γ' τῆς Θεοτόκου. Οὐρανίας ἁψῖδος.

Ἡ περίδοξος πόλις καὶ λογικὴ Δέσποινα, τοῦ παμβασιλέως δυσωπεῖ Θεοχαρίτωτε, τῆς ἄνω πόλεως οἰκήτορά με γενέσθαι, καὶ μὴ καταισχύνῃς με τῆς προσδοκίας μου.

Καταφύγιον κόσμου, Χριστιανῶν καύχημα, σκέπη καὶ ἀντίληψις πάντων τῶν ἐλπιζόντων εἰς σέ, τὸν πεποιθότα σοι· μὴ οὖν καμὲ ὑπερίδῃς, ἀλλὰ τῷ ἐλέει σου Δέσποινα σῶσόν με.

Ἀπορία καὶ γνόφος, καὶ λογισμῶν σύγχυσιν, τὰς τὸν ἀνερμήνευτον τόκον σου ἑρμηνεύοντας, καλύπτει Δέσποινα, ὃν Μωϋσῆς γὰρ προεῖδε, γνόφῳ καλυπτόμενος, τοῦτον ἐγέννησας.

Ἱεροῦ παραδείσου, καὶ ζωηροῦ χώρου με βρώσει δελεάσας δολία, ὄφις ὁ δόλιος μακρὰν ἐξώρισε, καὶ τῆς φθορᾶς τὸ χωρίον, τῆς Ἐδὲμ ἀλλάξασθαι, φθόνῳ πεπεισεν.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ... ΝΤΟΡΗΣ ΠΑΠΑΣΤ...

Τοῦ ῾Οσίου ᾨδὴ γ′

Στάσιν, τὴν παννύχιον, σοῦ κατεπλάγησαν Ἄγγελοι· καὶ γὰρ αὐτοὺς, ἔσχες συνεργοῦντες, ταῖς πρὸς Θεὸν ἐντεύξεσι.

Λύμης ἀπεκάθηρας, τῆς διανοίας τὰ ὄμματα, τῆς τῶν παθῶν· ὅθεν ἐνοπτρίζῃ, καθαρῶς τὸν ἀόρατον.

Γάλακτι ἀσκήσεως, ὡς ἐκτραφεὶς Ποιμὴν Ὅσιε, εἰς ἀρετῶν, ὕψος ἀνηνέχθης, εἰς τελείαν ἀπάθειαν.

Θεοτοκίον.

Ἔχων σε βοήθειαν, τῶν δυσμενῶν ὁρμὰς Ἄχραντε, οὐ δειλιῶ· ἔχων σε προστάτην, τὰς αὐτῶν τρέπω φάλαγγας.

῾Αγίου Φανουρίου. ᾨδὴ γ′. Σὺ τὸ στερέωμα.

Ὕμνοις τὸν Φανούριον, δαβιτικῶς φαιδρῶς ᾄσωμεν, ὡς θαυμαστὸς τοῖς ῾Αγίοις ὄντως, ὁ Θεός ἐστι λέγοντες.

Δόξα πατρί.

Ρῶσιν μοι δωρήσασθαι, τῶν ψυχικῶν παθῶν Ἅγιε, σαῖς προσευχαῖς, ἱκέτευσαι ταῖς θείαις ὅπως τύχω ἀφέσεως.

Καὶ νῦν.

Εὕρωσε προστάτην, ἐν τοῖς κινδύνοις Πανάχραντε, Μῆτερ Θεοῦ μετὰ Φανουρίου, ἐν ἡμέρᾳ τῆς κρίσεως.

Καταβασία

Ραβδος εἰς τύπον τοῦ μυστηρίου παραλαμβάνεται, τῷ βλαστῷ γὰρ προκρίνει τὸν ἱερέα. Τῇ στειρευούσῃ δὲ πρώην Ἐκκλησίᾳ νῦν ἐξήνθησε, ξύλον Στασρού, εἰς κράτος καὶ στερέωμα. Αἴτησις.

Κάθισμα τοῦ ῾Οσίου Ποιμένος. Ἦχος γ. Θείας πίστεως.

Ποιμαινόμενος ὑπὸ Κυρίου, τούτου πρόβατον, ὠράθης πρᾶον, ἐναντίους λύκους μάκαρ τροπούμενος· καὶ ἐκτελέσας τὸν θεῖον ἀγῶνα σου, πρὸς τὴν οὐράνιον μάνδραν ἐσκήνωσας. Πάτερ Ὅσιε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Δόξα τοῦ ῾Αγ. Φανουρίου. Ἦχ. πλ′ δ′ Τὴν σοφίαν καὶ λόγον.

Τοὺς ἱδρῶτας καὶ πόνους, σοφὲ τοὺς σούς, γεγραμμένας ὁρῶντες



πάντες πιστοὺς εἰκόνι τιμίᾳ σου, τὰς ψυχὰς ἐπεγείρονται, πρὸς τοὺς θείους ὕμνους, καὶ δόξαν καὶ αἴνεσιν, τῷ Δεσπότῃ τῶν ὅλων, παμμάκαρ προσφέρουσι, πόθῳ δὲ ἡ πόλις, εὐφημεῖ σε Ροδίων ἀξίως σε μέλποντες· ἀθλοφόρε Φανούριε, καὶ ἡμεῖς ἐκβοῶμεν σοι· πρέσβευε Χριστῷ τῷ Θεῷ τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

Καὶ νῦν. Θεοτοκίον.

Τὴν ψυχήν μου Παρθένε τὴν ταπεινὴν, τὴν ἐν ζάλῃ τοῦ βίου τῶν πειρασμῶν, νῦν ὡς ἀκυβέρνητον, ποντουμένην Πανάμωμε, ἁμαρτιῶν τε φόρτῳ φανεῖσαν ὑπέραντλον, καὶ εἰς πυθμένα ᾅδου, πεσεῖν κινδυνεύουσαν, φθάσον Θεοτόκε, τῇ θερμῇ σου πρεσβείᾳ, καὶ σῶσον παρέχουσα, τὸν λιμένα τὸν εὔδιον, ἵνα πίστει κραυγάζω σοι, πρέσβευε τῷ σῷ Υἱῷ καὶ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, ταῖς προσκυνοῦσιν ἐν πίστει, τὸν ἄσπορον τόκον σου.

ᾨδὴ δ′. Τῆς Θεοτόκου. Εἰσακήκοα Κύριε.

Ἡ κοιλία σου Ἄχραντε, εὐρυχωροτέρα οὐρανῶν γέγονε, τὸν ἀχώρητον χωρήσασα· ὃν δυσώπει σῶσαι τοὺς ὑμνοῦντάς σε.

Δωρεῶν με ἐλέησον, νόσων τε παντοίων Κόρη ἀπάλλαξον, καὶ κολάσεως ἐξάρπασον, ἡ καταφυγὴ καὶ προστασία μου.

Ἐπὶ σὲ ἀνατίθημι, πᾶσαν προσδοκίαν τῆς σωτηρίας μου, καὶ τοῦ βίου τὴν κυβέρνησιν Κεχαριτωμένη ἀειπάρθενε.

Ἡ ἐλπίς μου καὶ καύχημα, ἡ καταφυγὴ ζωὴ καὶ ἀντίληψις προστασία καὶ παράκλησις, σὺ ὑπάρχεις, Κόρη πανσεβάσμιε.

Τοῦ ῾Οσίου Ποιμένος ᾠδὴ δ′ ὁ αὐτός.

Ἀκηλίδωτον ἔσοπτρον τὰς τοῦ Παρακλήτου αὐγὰς δεχόμενον, θεοφόρε ἐχρημάτισας, καὶ δοχεῖον θεῖον ἀναβάσεων.

Ἀρδευόμενος δάκρυσι, δένδρον καθωράθης Πάτερ ὑψόκομον, ἐγκρατείᾳ καλλυνόμενον, καὶ καρποῖς ἐνθέοις εὐθυνούμενον.

Γηπονήσας τὴν ἄρουραν σοῦ τῆς διανοίας πόνοις ἀσκήσεως, ἀρετῶν στάχυν πολύφορον, καὶ θαυμάτων χάριν ἐγεώργησας.

Θεοτοκίον.

Παρθενίας κειμήλιον, καὶ τῆς ἀχωρήτου φύσεως σκήνωμα, τὴν ψυχήν μου φωταγώγησον τὴν ἐσκοτισμένην Θεονύμφευτε.

ᾨδὴ δ′. Τοῦ ῾Αγίου Φανουρίου ὁ αὐτός.

Λίθοις Μάρτυς βαλλόμενον, σοῦ τὸ θεῖον στόμα καὶ τιμιώτατον, δι᾽ οὗ Κύριον ἐδόξαζες, τὸν δοξάσαντά σε ἐν τοῖς θαύμασι.

Ἐπλατύνθη πρὸς αἴνεσιν, τὸ σὸν θεῖον στόμα, λίθοις θλιβόμενον, τοῦ Θεοῦ καὶ ἀνεκραύγαζες ἤνοιξα τὸ πνεῦμα, διὰ στόματος.

Καὶ ἐν ῥάβδοις τυπτόμενος, ἔφερες γενναίως μάρτυς Φανούριε, τὰς πληγὰς φαιδρῶς εἰς τὸ πρόσωπον, ὥσπερ ἄλλου σου ὄντος τοῦ Πάσχοντος.

Θεοτοκίον.

Ἰσουργὸν τὸ γεννήτορος λόγων τῶν ἐκλαγόνων σου ἐσωμάτωσας ὅθεν ὤφθης ὑπερέχουσα, ποιημάτων πάντων, Κόρη Δέσποινα.

Καταβασία.

Εἰσακήκοα Κύριε, τῆς οἰκονομίας σου τὸ μυστήριον, κατενόησα τὰ ἔργα σου, καὶ ἐδόξασα σου τὴν θεότητα.

Κανὼν τῆς Θεοτόκου ᾠδὴ ε' Ὀρθρίζοντες βοῶμεν σου.

Σωτῆρα καὶ φιλάνθρωπον Κύριον τεκοῦσα, τὴν φιλανθρωπίαν σου, τῆς σωτηρίας τρίβον μοι γνώρισον.

Ἵλεως σου ἐν ὄμματι Δέσποινα Θεοτόκε, ἐπὶ τὴν ταπείνωσιν τὴν ἐμὴν οἶδε καὶ σῶσον με.

Στεφάνωσον ὡς ὅπλω Πανύμμνητε εὐδοκίας ἐν τῇ θείᾳ σκέπη σου, τὴν κεφαλήν μου φρουροῦσα με.

Ὕψιστος σαρκοῦται ἐν μήτρᾳ σου, καὶ γεννᾶται ἄχραντε Θεοτόκε, καὶ καινουργεῖ τὸ ἀνθρώπινον.

Ὠδὴ ε' τοῦ Ὁσίου Ποιμένος.

Τὸν καύσωνα βαστάσασα ἀοίδιμε, τῆς ἡμέρας, χαρᾶς κατηξίωσε, τῆς τοῦ Κυρίου σου Ὅσιε.

Ἀσκήσεως λειμῶνι ἡδίπονον, ἔφυς ῥόδον ὀδμαῖς θείας γνώσεως εὐωδιάζων τὰ πέρατα.

Τὸν πρὶν μεγαλαυχέᾳ χρησάμενον, πάτερ ὄφιν, πρὸς γῆν ἐταπείνωσας, τῇ ταπεινώσει φραξάμενος.

Θεοτοκίον.

Παρθένον μετὰ τόκον ὑμνοῦμεν σε Θεοτόκε· σὺ γὰρ τὸν Θεὸν λόγον, σαρκὶ τὸ κόσμῳ ἐκύησας.

Τοῦ Ἁγ. Φανουρίου ᾠδὴ ε.

Ἵνα τί μὲ βιάζεις Κύριον ἀρνήσασθαι ὃν ἐπεπόθησα ἐκ μητρώων σπλάγχνων· καὶ αὐτὸν νῦν ποθῶ ἐγκαλίσασθαι διὰ τῶν βασάνων, καὶ μετὰ αὐτοῦ συμβασιλεῦσαι, τῷ τυράννῳ ἐβόα Φανούριος.

Ἵνα τί ταῖς θωπείαις,σπεύδεις ἀτονῆσαι μοι ψυχῆς τὸ εὔτονον, ἣν θερμαίνη χάρις ἐπιλάμψεσι θείαις φωτίζουσα, οὐδὲ νῦν μωραίνεις αὐτὴν χαυνῶσαι πονηρίαις, τῷ τυράννῳ ἐβόα Φανούριος.

Δόξα πατρί.

Ἵνα τί ταῖς θωπείαις, σπεύδεις ἐκφηνῶσαι μου ψυχῆς τὸ πρόθυμον; τριχῶν γὰρ οὐκ ἔχης ἐγγύσαι, καὶ ταύτας γὰρ Κύριος ἀριθμῶ κατέχει, σὺ δὲ πολλῶν καταλυθήση, ἀλλ' ἐβόα λαμπρῶς ὁ Φανούριος.



Θεοτοκίον Κυρίου.

Μυστικὴ μυροθήκη, χαῖρε τὸ ἡδύπνοον μύρον ἡ βρύουσα, χαῖρε θεία κρήνη, ἡ τὸ ὕδωρ τὸ ζῶν ἀναβλύζουσα, χαῖρε ἡ τὸν βότρυν, τὸν τῆς ζωῆς καρποφοροῦσα, ἀγεώργητος ἄμπελος Δέσποινα.

Καταβασία.

Ὢ τρισμακάριστον ξύλον· ἐνῷ ἐτάθη Χριστὸς ὁ Βασιλεὺς καὶ Κύριος· δι' οὗ πέπτωκεν ὁ ξύλῳ ἀπατήσας, τῷ ἐν σοὶ δελεασθῆ; Θεῷ τῷ προσπαγέντι σαρκί, τὸ παρέχοντι τὴν εἰρήνην ταῖς ψυχαῖς ἡμῶν.

Ὠδὴ στ' Τῆς Θεοτόκου. Χιτῶνα μοι παράσχου.

Γαλήνη ἡ κυήσασα Χριστόν, τὸν αἴτιον Δέσποινα, τὸν ἄγριον κλύδωνα τῶν παθῶν μου δυσωπῶσαι ἡμέρωσον.

Δραμεῖν Θεοῦ ὁδὸν τῶν ἐντολῶν, τὴν ἐστενωμένην μου καρδίαν τοῖς πάθεσι, Πλατυτέραν οὐρανῶν Κόρη πλάτυνον.

Οὐ κέκτημαι δακρύων ὀχετούς, ἵνα ἀποπλύνω μου τὰ ἄπειρα πταίσματα, ταῖς πρεσβείαις σου Ἁγνὴ τούτων ῥῦσαί με.

Ἡ Μήτηρ τοῦ ὑψίστου προσλαβοῦ ἐκ πολλῶν ὑδάτων με παθῶν εἰς μετανοίαν, ἀποστείλλουσα ἐξ ὕψους τὴν χάριν σου.

Τοῦ Ὁσίου Ποιμένος ᾠδὴ στ' ὁ αὐτός.

Νεκρώσας τὰς τοῦ σώματος ὁρμὰς πολλοῖς ἀγωνίσμασι, ζωὴν πρὸς ἀθάνατον, ἐξεδήμησας Ποιμὴν ἀξιάγαστε

Ἐγκράτειαν ἀέναον καὶ εὐχήν, ἀγάπην ἀθόλωτον, κτησάμενος ὅσιε, ἀκηλίδωτον Θεοῦ ὤφθης ἔσοπτρον.

Ἐρήμοις ἐν ἀβάτοις προσφοιτῶν, παθῶν ἐρημώσεως, σαυτὸν ἀπεγύμνωσας, καὶ πολίτης οὐρανῶν ἐχρημάτησας.

Θεοτοκίον.

Ἡ μόνη διὰ λόγου ἐν σαρκί, τὸν λόγον κυήσασα, ῥῦσαι δεόμεθα τῶν παγίδων τοῦ ἐχθροῦ τὰς ψυχὰς ἡμῶν.

Ὠδὴ στ' Ἁγ. Φανουρίου.

Ἡ Ῥόδος νῦν σὲ φρουρόν, καὶ πᾶσα πόλις συλλήπτορα, ὁ οὐρανὸς οἰκιστήν, οἱ Ἄγγελοι σύσκηνον, ἡ γῆ δὲ ἐπλούτησε θησαυρὸν χαρίτων ὦ Φανούριε πανθαύμαστε.

Θεὸς ἐκ βάθρων τῆς γῆς, πηγὴν θαυμάτων ἀνέβλυσε τὸν φανουρίου ναόν, ἐξ οὗ οἱ προσερχόμενοι τῶν κινδύνων λύτρωσιν, καὶ σωμάτων ῥῶσιν, καὶ ψυχῆς τροφὴν λαμβάνουσιν. Δόξα

Ἐν τῇ καμίνου φλογός, αἱ τρίχες οὐ κατεφλέχθησαν, ἐν τῇ καρδίᾳ σου γάρ, ἄλλο πῦρ ἐκρύπτετο, ἀγάπης τοῦ Κτίστου σου, ἀθλητὰ γενναῖε, ὑπὲρ οὗ τὸ σῶμα προύδωκας.

Καὶ νῦν Θεοτοκίον.

Ἡ ἀγεώργητος γῆ, τὸν γεωργὸν ἡ κυήσασα καὶ πάντων δημιουργόν, τὴν ὑλιμανήσασαν, ψυχήν μου τοῖς πάθεσι, καρποφόρον δεῖξον, διὰ θείας ἐπιγνώσεως,

Καταβασία

Νοτίου θηρὸς ἐν σπλάγχνοις, παλάμας Ἰωνᾶς σταυροειδῶς διεκπετάσας, τὸ σωτήριον πάθος, προδυετύπου σαφῶς· ὅθεν τριήμερος ἐκδὺς τὴν ὑπερκόσμιον Ἀνάστασιν ὑπεζωγράφησε, τοῦ σαρκὶ προσπαγέντος Χριστοῦ τοῦ Θεοῦ, καὶ τριημέρῳ ἐγέρσει τῶν κόσμον φωτίσαντος. Αἴτησις σὺ γὰρ εἶ ὁ Βασιλεύς.

Κοντάκιον Ὁσίου Ποιμένος. Ἐπεφάνης σήμερον.

Τῶν λαμπρῶν ἀγώνων σου, Ὅσιε Πάτερ, ἡ Ἁγία σήμερον, ἐπέστη μνήμη τὰς ψυχάς, τῶν εὐσεβῶν κατευφραίνουσα, Ποιμὴν θεόφρον πατὴρ ἡμῶν ὅσιε.

Κοντάκιον Ἁγ. Φανουρίου ἦχος γ'. Ἡ Παρθένος σήμερον.

Ἱερεῖς διέσωσας αἰχμαλωσίας ἀθέου καὶ δεσμοὺς συνέθλασας, δυνάμει θείᾳ θεόφρων, ᾔσχυνας τυράννων θράση γενναιοφρόνως, ηὔφρανας Ἀγγέλων τάξεις μεγαλομάρτυς, διὰ τοῦτο σε τιμῶμεν, θεῖε ὁπλῖτα Φανούριε ἔνδοξε.

Ὁ οἶκος.

Ποίοις ὕμνοις προσοίσω, τῷ ὑπερεπέκεινα ὕμνων ἀπάντων ἀθλήσαντι; ποίοις δὲ ἐγκωμίων ἄνθεσι τὴν κεφαλὴν καταστέψω τοῦ ὑπ' Ἀγγέλων οὐρανίῳ στέφει τὴν ψυχὴν κοσμηθέντος; νέος ὢν ἁπαλῇ τῇ σαρκὶ τῷ δολίῳ προσπλακείς, γενναίως εἰς γῆν κατέρραξε, τὸν τύραννον καταπλήξας· εἰς γῆν δὲ τὸ σῶμα αὐτοῦ κατατεθέν, ἐν οὐρανοῖς μετ' Ἀγγέλων χορεύει αἰωνίως τὸ πνεῦμα· ὅθεν αὐτῷ ἐκβοήσωμεν, ῥῦσαι ἡμᾶς, ἐκ παντοίων κινδύνων, θεῖε ὁπλῖτα Φανούριε ἔνδοξε.

Τῇ 27. Τοῦ μηνὸς Αὐγούστου, Μνήμη, τοῦ Ὁσίου Πατρὸς ἡμῶν Ποιμένος.

Στίχος. Ὡς ἐκ λύκου χαίνοντος ἥρπαγη βίου. Ποιμήν, τὸ θρέμμα τοῦ μεγίστου Ποιμένος. Ποιμένα εἰς μέγαν ἑβδόμῃ εἰκάδι ᾤχετο Ποιμήν.

Τῇ αὐτῇ ἡμέρα Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν καὶ Ὁμολογητοῦ Λιβερίου Πάπα Ῥώμης.

Στίχ. Τὸν πλοῦτον ἀντλεῖν Λιβέριος νῦν ἔχει. Ον οὐρανοῖς ἦν ἐμφρόνως θησαυρίσας.

Τῇ αὐτῇ ἡμέρᾳ Μνήμη τοῦ Ἁγίου Πατρὸς ἡμῶν Ὁσίου Ἐπισκόπου Κοδρούβης.

Τὴν κλῆσιν εἰπὼν ὅσιε τὴν σὴν μόνην. Πληρῶ θανόντι ἔπαινον σοι τὸ χρέος.

Τῇ αὐτῇ ἡμέρα μνήμη τῆς ὑπὸ τοῦ Ἁγίου Φιλίππου βαπτίσεως τοῦ Αἰθίοπος Εὐνούχου.

Στιχ. Ἀνὴρ ἐλέγχει τὴν παροιμίαν Σπάδων. Λευκαίνεται γάρ, καὶ πεφυκὼς Αἰθίοψ.



Τῇ αὐτῇ ἡμέρᾳ ἡ Ἁγία Ἀνθοῦσα ἡ Νέα, τρίχινον ῥάκος ἐνδυθεῖσα, καὶ εἰς φρέαρ ῥιφεῖσα τελειοῦται.

Στίχ. Ὁ μανδύας σοι πῖλος, ἡ πόρπη πέτρα.

Μεθ' ὧν ὑπῆλθες Ἀνθοῦσα βαθὺ φρέαρ.

Τῇ αὐτῇ ἡμέρᾳ. Τοῦ Ἁγίου ἐνδόξου Μεγαλομάρτυρος Φανουρίου τοῦ Νεοφανοῦς· Φανούριος φῶς πᾶσι πιστοῖς παρέχει. Κἂν εἰς σκότος δι' ἔκειτο τῆς γαίας μέγα. Ἔνθα σοι σηκὸς Φανουριέ ζάθεος ὠνί.

Ταῖς τῶν Ἁγίων σου πρεσβείαις ὁ Θεὸς ἐλέησον καὶ σῶσον ἡμᾶς Ἀμήν.

Κανὼν τῆς Θεοτόκου. Ὠδὴ ζ. Παῖδες Ἑβραίων.

Πίστει καὶ πόθῳ σοι προστρέχω, τῶν πταισμάτων ταῖς σειραῖς κατεσφιγμένος, διὰ σπλάγχνα ἐλέους, λύσον με βοῶντα, εὐλογημένος Πάναγνε, ὁ καρπὸς τῆς σῆς κοιλίας.

Ῥεῖθρον ἰάσεως μοι βλῦσον, καὶ κατάσβεσον τὴν κάμινον Παρθένε, ἡδονῶν καὶ παθῶν, πταισμάτων τε καὶ νόσων· σὺ γὰρ πηγὴ βλαστάνουσα, ζωῆς θείας γλυκὺ ῥεῖθρον.

Ἔλαφος διατετρωμένος, Παναμώμητε βολίσιν ἰοβόλοις, τοῦ ἐλέους τοῦ σοῦ, διψῶ πιεῖν ρανίδα, ὡς τὸν ἰὸν ἐκπορεύσωμαι τὸν ποτὲ θανατηφόρον.

Πᾶσαν εἰς σὲ τὴν προσδοχίαν, ἀνατίθημι Παρθένε τῆς ζωῆς μοι· μὴ παρίδῃς διό, ἀλλ' οἴκτειρον καὶ σῶσον, καὶ τῆς ἐκεῖ με λύτρωσαι, αἰωνίου καταδίκης. Ὁσίου Ποιμένος ὁ αὐτός.

Θείαις σχολάζων θεωρίαις, λαμπρυνόμενος ἀΰλοις θεαυγείαις, καὶ ἡμέρας υἱός, καὶ φῶς τῶν ἐν τῷ σκότει, ὡς ἀληθῶς γεγένησαι, θεοφόρε εἰς αἰῶνας.

Ἤρθης πρὸς ὕψος ἀπαθείας· μετὰ σώματος Ἀγγέλους ἐμιμήσω. Παραδείσου τρυφῆς, ἐγένου κληρονόμος, ἀναβοῶν Μακάριε. Ὁ Θεὸς εὐλογητὸς εἶ.

Λάμπων ἀκτῖσιν ἀπειθείας, ἀπημαύρωσας δαιμόνων ἐπηρείας· καὶ τῆς τούτων πολλούς, κακώσεως ἐρρύσω, ἀναβοῶντας ὅσιε. Ὁ Θεὸς εὐλογητὸς εἶ. Θεοτοκίον.

Ἴδε ἣν ἐρήσω Παρθένον, ἐν τῷ Πνεύματι ὁ μέγας Ἡσαΐας ἐν γαστρὶ τὸν Θεόν, συνέλαβες καὶ τίκτεις ὦ μελοδοῦντες κράζομεν. Ὁ Θεὸς εὐλογητὸς εἶ Τοῦ Ἁγ. Φανουρίου ᾠδὴ ζ' ὁ αὐτός.

Λίθῳ βαρούμενος τὸ σῶμα, ὁ Φανούριος πρὸς σὲ Σωτὴρ ἐβόα· ἐν

τῇ πέτρᾳ τῶν σῶν, Χριστέ μου θελημάτων στερεωθείς, τὸ σῶμα μου ταῖς βασάνοις ἀναλίσκω.

Νῦν στερεοῦται τοῦ Κυρίου εὐαγγέλιον ἔφη Ἀποστόλοις, ὁ κρυπτόμενος γάρ, Ναὸς τοῦ Φανουρίου, ὁ ἐν τῇ Ρόδῳ πρὸ πολλοῦ εἰς ἡμᾶς νῦν φανεροῦται. Δόξα

Ἔστης ἐν μέσῳ τῶν θηρίων, ὦ Φανούριε, παραδοθεὶς εἰς βρῶσιν ἀλλ' ἐφλέχθη σφοδρῶς, τυράννου ἡ καρδία, ὅτε σὲ εἶδε Δανιὴλ νέον ὄντα ἐν σταδίῳ. Καὶ νῦν.

Ὄρος κατάσκιον ἐφάνης ἀχειρότμητος, ἐξ οὗ ἐτμήθη λίθος, τὴν λιθώδη δι' ὃ κατάνυξον ψυχή μου, πεπωρωμένην Δέσποινα ταῖς πικραῖς φιληδονίαις. Καταβασία.

Ἔκνον πρόσταγμα τυράννου. δυσσεβοῦς λαοὺς ἐκλόνησε, πνέον ἀπειλῆς, καὶ δυσφημίας θεοστυγοῦς. Ὅμως τρεῖς Παῖδας οὐκ ἐδειμάτωσεν, θυμὸς θηριώδης οὐ πῦρ βρόμενον· ἀλλ' ἀντηχοῦντι δροσοβόλῳ πνεύματι, πυρὶ συνόντες ἔψαλλον. Ὁ ὑπερύμνητος τῶν Πατέρων καὶ ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Κανὼν τῆς Θεοτόκου. Ὠδὴ ή. Τὸν Βασιλέα τῶν οὐρανῶν.

Ἐν τῇ νηδύϊ σου τὸν πρὸ σοῦ συλλαβοῦσα, θεομήτωρ Ἄχραντε Μαρία, τέτοκας ἀφράστως Χριστὸν τὸν Βασιλέα.

Ἵνα δοξάζω καὶ προσκυνῶ μετὰ δέους, σοῦ τὸ πάνσεπτον ὄνομα Κόρη θλίψεώς με πάσης, ἐκλύτρωσαι καὶ βλάβης.

Φέρεις ὡς βρέφος ἐν ταῖς ἁγίαις χερσί σου, τὸν τὰ πάντα φέροντα τῷ λόγῳ· ὅθεν σὺν αὐτῷ σε, ὑμνοῦμεν εἰς αἰῶνας.

Ὡς ἀσφαλῆ σε, ἐλπίδα μόνην κατέχων καθικετεύων, ἁμαρτιῶν καὶ κινδύνων, ἄχραντε Μαρία, ἐκλύτρωσαί με τάχει. Ὁ αὐτὸς τοῦ Ὁσίου

Ἀνύστακτον τῆς ψυχῆς τὴν λαμπάδα, ἐλαίῳ σου τῶν ἀγώνων τηρήσας, εἰσῆλθες ἐν χαρᾷ, εἰς ἄφθαρτον νυμφῶνα, καὶ ζῇς εἰς τοὺς αἰῶνας.

Οὐκ ἔπεισαν τῆς ψυχῆς σου τὸν πύργον, οἱ ἄνεμοι ἀκαθάρτων πνευμάτων· ἐστήρικτο καὶ γάρ, τῆς πίστεως ἐν πέτρᾳ, παμμάκαρ θεόφορε.

Τὸ δύσμορφον τῶν παθῶν ἐξεδύσω, χιτώνιον· ἐνεδύσω δὲ Πάτερ ὡραίαν τὴν στολήν, τῆς θείας ἀπαθείας, Χριστῷ συμβασιλεύων. Θεοτ.

Ὡς ἔντιμον καὶ ὑπέρτατον θρόνον, ὑπάρχουσαν τοῦ Θεοῦ τοῦ ὑψίστου, ὑμνήσωμεν λαοί, τὴν Ἁγίαν Παρθένον, αὐτὴν ὑπερυψοῦντες εἰς πάντας τοὺς αἰῶνας.

Τοῦ Ἁγίου Φανουρίου ᾠδὴ ή. Ὁ αὐτός.

Τὸν ὡραῖον νυμφίον ἀγαπήσας, σοῦ τὸν νέον καὶ εὐανθοῦν σαρκίον,



ὑπὲρ αὐτοῦ ταῖς μάστιξι παρέδωκας, ἐκβοῶν σὺν πόθῳ, πότε σὲ κερδήσω, συνὼν εἰς τοὺς αἰῶνας.

Τοῖς ξοάνοις οὐκ ἔκλινας τὸ γόνυ, τοῖς εἰδώλοις οὐκ ἔνειμας θυσίαν. ἀλλὰ Χριστὸν ἀνδρείως ἀνακηρύττες, φέρων τὰς αἰνέσεις, ὡς θεῷ τῶν ὅλων, εἰς πάντας τοὺς αἰῶνας. Δόξα Πατρί.

Θαρσαλέως καὶ μέγα ρωμαλέως τῷ τυράννῳ, ἐβόας μετὰ θάρσους οὐ δειλιῶ ὦ τύραννε τὰς μάστιγας· ἔχω γὰρ Σωτῆρα, ὅς με ἐξελεῖται ταχέως τῶν χειρῶν σου.

Θεοτοκίον. Καὶ νῦν.

Ἱσταμένων βεβαίωσις ὑπάρχεις, καὶ πεσόντων ἀνόρθωσις Παρθένε δι' ὃ καταπτωθέντα με ἀνάστησον· ἵνα σὲ δοξάζω τὴν εὐλογημένην καὶ κεχαριτωμένην. Καταβασία

Εὐλογεῖται Παῖδες, τῆς Τριάδος ἰσάριθμοι, Δημιουργὸν Πατέρα Θεὸν ὑμνεῖ τε τὸν συγκαταβάντα Λόγον, καὶ τὸ πῦρ εἰς δρόσον μεταποιήσαντα, καὶ ὑπερυψοῦτε, τὸ πᾶσι ζωὴν παρέχον Πνεῦμα Πανάγιον εἰς τοὺς αἰῶνας.

Κανὼν τῆς Θεοτόκου Ὠδὴ Θ' Κυρίως Θεοτόκον.

Τοὺς σοὺς οἰκτροὺς οἰκέτας, οἰκτείρησον Παρθένε, ἀνιαροῦτε παντὸς ἐλευθέρωσον, ἐπιφορὰς ἐπιούσας ἀναχαιτίζουσα.

Ἱλάσθητι σωτήρ μου, πᾶσι τοῖς τιμῶσι, τὴν ὑπερένδοξον ὄντως Μητέρα σου, καὶ Παραδείσου τῆς δόξης, δεῖξον οἰκήτορας

Ὁδὸν κακίας πάσης, ἔδραμον εὐτόνως τῶν ἀρετῶν τὴν ὁδὸν δὲ παρέδραμον· ὁδόν μοι γνώρισον Κόρη, ἐν ᾗ πορεύσομαι.

Ὕμνον σοι τελευταῖον, πρῶτον τε καὶ μέσον, τοῦ Ἀρχαγγέλου τὸ χαῖρε προσφέρω σεμνή· σοὶ γὰρ κατάλληλον ἄλλον, εὑρεῖν οὐ δύναμαι.

Ἕτερος τοῦ Ὁσίου Ποιμένος ὁ αὐτός.

Ἔδυς μὲν οἷα περ ἀστήρ, ἀπὸ κόσμου πρὸς Χριστὸν δὲ ἀνέτειλας τὸν νοητὸν ἀληθῶς, δικαιοσύνης παμμάκαρ ἥλιον· καὶ ὡς ἀκτῖνας τοῖς πιστοῖς, τὰς σὰς καταλέλοιπας, φωτοειδεῖς ἀρετὰς ἐλαυνούσας τῶν ψυχῶν ἀμαυρότητα.

Τίμιος ἔναντι Θεοῦ, σοῦ ὁ θάνατος ἀοίδιμε γέγονε· καὶ γὰρ ὁσίως ἐν γῇ ἐπολιτεύσω τούτου προστάγματα, καὶ δικαιώματα Ποιμὴν τηρήσας ἀλώβητα· ὅθεν ἀνέτειλεν, ὡς δικαίῳ· σοὶ τὸ φῶς τὸ ἀνέσπερον.

Ταῖς θείαις Πάτερ καλλοναῖς, ἐνηδόμενος καὶ θέσει θεούμενος, καὶ τῷ μεγάλῳ φωτί, πεφωτισμένος, νῦν παριστάμενος, καὶ ἀκροτάτῳ ἐφε-

τῷ ἐγγίζων τρανότερον, τῶν σὲ τιμώντων Ποιμὴν, καὶ τελούντων τὴν μνήμην μνημόνευε

Θεοτοκίον.

Ἔπαυσας μόνη γυναικῶν, τὴν ἀρὰν τῶν πρωτοπλάστων θεόνυμφε, τὸν ἀπερίγραπτον, σαρκὶ τεκοῦσα περιγραφόμενον· ἐκαινοτόμησας θεσμοὺς, φύσεως ἀμόλυντε· τὰ διεστῶτα τό πρὶν, παραδόξῳ μεσιτείᾳ σου ἥνωσας.

Ἕτερος ὁ αὐτὸς τοῦ Ἁγίου Φανουρίου.

Εἰς γῆν τὰ τῶν εἰδώλων, ξόανα συντρίβεις, εἰς οὐρανὸν ἀνυψώσας τὰς χεῖρας σου, καὶ τῶν δαιμόνων τὰ στίφη θρήνων ἐπλήρωσας.

Ὡς ῥύστης τῶν ἐν θλίψει, σὲ λιτανευόντων, ῥῦσαι με πάσης κακίας Φανούριε, τὸν πεποιθότα παμμάκαρ ἀεὶ τῇ σκέπῃ σου.

Δόξα πατρί.

Ὡς τύραννος ᾐσχύνθη, ὅτε σὲ ἑώρα, ἐν τοῖς κινδύνοις ἀεὶ ἀκμαιότερον, ἐκμυκτηρίζοντα τούτου τὴν ἀθεότητα.

Καὶ νῦν.

Φωτὸς οὖσα δοχεῖον, φώτισον Παρθένε, τὴν σκοτισθεῖσαν ψυχὴν μου τοῖς πάθεσιν· ὅπως ἐν πίστει καὶ τόθῳ, ἀεὶ δοξάζω σε.

Καταβασία

Μυστικῶς εἶ Θεοτόκε Παράδεισος, ἀγεωργήτως βλαστήσασα Χριστὸν, ἐφ' οὗ τὸ τοῦ Σταυροῦ ζωηφόρον ἐν γῇ, πεφυτουργεῖται δένδρον. Διὸ νῦν ὑψουμένου, προσκυνοῦντες αὐτὸν σὲ μεγαλύνωμεν.

Ὁ διὰ βρώσεως τοῦ ξύλου, τῷ γένει προσγενόμενος θάνατος, διὰ Σταυροῦ κατήργηται σήμερον· τῆς γὰρ προμήτορος ἡ παγγενὴς κατάρα διαλέλυται τῷ βλαστῷ τῆς Ἁγνῆς θεομήτορος, ἣν πᾶσαι αἱ Δυνάμεις τῶν οὐρανῶν μεγαλύνουσιν.

Ἐξαποστειλάριον τοῖς Μαθηταῖς συνέλθωμεν. Τοῦ Ὁσ. Ποιμένος.

Ὅλην σαφῶς δεξάμενος, τὴν τρισήλιον αἴγλην, τῆς θεαρχίας πάνσοφε, νῦν Θεὸς χρηματίζεις, Θεοῦ τοῦ φύσει μεθέξει· ὃν δυσώπει ῥυσθῆναι, κινδύνων τε καὶ θλίψεων τοὺς τιμῶντάς σε Πάτερ, καὶ τὴν σεπτὴν καὶ φωσφόρον μνήμην σου ἐκτελοῦντας, Ποιμὴν θεόφρον ὅσιε, Ἀσκητῶν ὡραιότης

Τοῦ Ἁγίου Φανουρίου· ὁ αὐτός.

Νῦν Ρόδος μεγαλύνεται, τῇ εὑρέσει τοῦ θείου Ναοῦ σου παμμακάριστε, ὦ Φανούριε Μάρτυς, καὶ χαίρει ἐγκαυχωμένη, τῶν θαυμάτων τῷ πλήθει. Ἱερεῖς γὰρ διέσωσας, τρεῖς δουλείας ἀθέου· ὄναρ φανεὶς τοῖς κυρίοις. τούτων καὶ ἐπιπλήξας τυφλότητι χωλότητι, τὸ σκληρὸν ἐκμαλάξας.



Θεοτοκίον.

Δέσποινα πάντων Ανασσα, πρόφθασον ἐν κινδύνοις, πρόφθασον ἐν ταῖς θλίψεσι, πάρεσο ἐν ἀνάγκαις, τῆς τελευταίας ἡμέρας, μὴ Σατὰν ἡμᾶς λάβῃ μὴ ᾅδης, μὴ ἀπώλεια βήματι τοῦ Υἱοῦ σου τῷ φοβερῷ, ἀνευθύνους ἅπαντας παραστῆναι, ὦ Θεομήτωρ Δέσποινα, ὅσα θέλεις ἀνύεις.

Εἰς τοὺς Αἴνους Στιχηρὰ Προσόμοια ἦχος πλ. δ'.

Ὢ τοῦ παραδόξου θαύματος.

Ὢ τοῦ παραδόξου θαύματος, ἐν οὐρανῷ καὶ ἐν γῇ, ἀγαλλίαμα σήμερον, ὅτι γῆθεν ἤνθησε, λύτρον μέγα σωτήριον. Ναὸς ὁ θεῖος καὶ πανυπέρτιμος τοῦ Φανουρίου, βροτοὶ προσδράματε, ἅπαντες σήμερον, ἐν ᾀσμάτων ἀνθεσιν, ὅπως δεινῶν λύσιν απολαύηται, αὐτοῦ δεόμενοι. Δὶς

Ὢ τοῦ παραδόξου θαύματος, παιδίον ὢν κομιδῇ, ὁ γενναῖος Φανούριος, χωρὶς ὅπλων ἵσταται, ἐν σταδίῳ φαιδρότατος μετὰ ἐνόπλων ἀγωνιζόμενος, μετὰ ἀύλων χοϊ μαχόμενος, ὢ τῆς ἀνδρείας σου καὶ στερρᾶς ἀθλήσεως, φίλε Θεοῦ· πῶς ἐχθροὺς κατέβαλες τοὺς πολεμοῦντάς σε.

Ὢ τοῦ παραδόξου θαύματος, ὁ μαργαρίτης θεοῦ. ὁ ἀγρῷ πρὶν κρυπτόμενος νῦν ἐν Ρόδῳ ηὔγασται, θησαυρὸς ὡς πολύτιμος, πλουτίζων τέρπων φωτίζων ἅπαντας, τοὺς προσιόντας αὐτῷ ἐκ πίστεως· ὅστις Φανούριος, ἐστὶν ὁ παμμέγιστος Μάρτυς Χριστοῦ· ὃν ἐγκωμιάζοντες νῦν μεγαλύνωμεν.

Δόξα ἦχος πλάγ ά

Ἐπέλαμψε σήμερον, εὐφρόσυνος ἑορτὴ, καὶ νέα πανήγυρις Φανουρίου τοῦ πολυάθλου, καὶ γενναιόφρονος· οὗτος γὰρ ἐν ἀδήλοις, ἀθλήσας καιροῖς ἄδηλος, ἦν, ναός τε καὶ τοὔνομα αὐτοῦ πᾶσιν ὑπῆρχεν ἀγνώριστος, τυράννων δὲ ἀθέων καταχρατησάντων Ρόδου τῆς περιφήμου, καὶ τὰς κατηδαφισμένας ἑλεπόλεις ἀναφανέντων, Ναὸς αὐτοῦ καὶ εἰκὼν ἐφάνη ὑπέρλαμπρος, ὅς βασιλικῇ ἀδείᾳ ἀνακαινισθεὶς, πηγὴ ἀνεδείχθη θαυμάτων παρὰ Χριστοῦ τοῦ θεοῦ, του θαυμαστοῦ ὄντως ἐν τοῖς Ἁγίοις αὐτοῦ

Καὶ νῦν θεοτοχίον ὁ ἦχος ὁ αὐτός.

Χαῖρε κεχαριτωμένη, Μήτηρ Χριστοῦ τοῦ Θεοῦ, ὅτι ἐπέφανε σοι ὁ Βασιλεύς, τῆς δόξης, καὶ ἐπεσκεύασέ σοι τὸ Πανάγιον Πνεῦμα· ὡς παρρησίαν ἔχουσα, πρέσβευε τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Δοξολογία μεγάλη καὶ ἀπόλυσις. εἰς τὴν λυτουργίαν Τυπικά, ἐκ τοῦ κανόνος ᾠδὴ γ' καὶ στ'·

Ὁ Ἀπόστολος. Προκείμενον ἦχος δ'

Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος. Προωρώμην τὸν Κύριον ἐνώπιον μου διαπαντός. Πρὸς Ἐφεσίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Ἀδελφοί ἐνδυναμοῦσθε ἐν Κυρίῳ καὶ ἐν τῷ κράτει τῆς ἰσχύος αὐτοῦ· ἐνδύσασθε τὴν πανοπλίαν τοῦ Θεοῦ, πρὸς τὸ δύνασθαι ἡμᾶς στῆναι πρὸς τὰς μεθοδείας τοῦ διαβόλου. Ὅτι οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχάς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους τοῦ αἰῶνος τούτου, πρὸς τὰ πνευματικὰ τῆς πονηρίας, ἐν τοῖς ἐπουρανίοις. Διὰ τοῦτο ἀναλάβετε τὴν πανοπλίαν τοῦ Θεοῦ, ἵνα δυνηθῆτε ἀντιστῆναι ἐν τῇ ἡμέρᾳ τῇ πονηρᾷ, καὶ ἅπαντα κατεργασάμενοι στῆναι. Στῆτε οὖν περιζωσάμενοι τὴν ὀσφὺν ἡμῶν ἐν ἀληθείᾳ καὶ ἐνδυσάμενοι τὸν θώρακα τῆς δικαιοσύνης καὶ ὑποδησάμενοι τοὺς πόδας ἐν ἑτοιμασίᾳ τοῦ Εὐαγγελίου τῆς εἰρήνης. Ἐπὶ πᾶσιν ἀναλαβόντες τὸν θυρεὸν τῆς πίστεως, ἐν ᾧ δυνήσεσθε πάντα τὰ βέλη τοῦ πονηροῦ τὰ πεπυρωμένα σβέσαι· καὶ τὴν περικεφαλαίαν τοῦ σωτηρίου δέξασθε, καὶ τὴν μάχαιραν τοῦ Πνεύματος, ὅ ἐστι ῥῆμα τοῦ Θεοῦ. Ἀλληλούια ἦχ. δ'

Ἐκέκραξαν οἱ δίκαιοι, καὶ ὁ Κύριος εἰσήκουσεν αὐτῶν. Στίχ. Πολλαὶ αἱ θλίψεις τῶν δικαίων.

Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Ματθαῖον. Κεφ. ιϐ'

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς. Ἰδοὺ ἐγὼ ἀποστέλλω ὑμᾶς ὡς πρόβατα ἐν μέσῳ λύκων γίνεσθε οὖν φρόνιμοι ὡς οἱ ὄφεις, καὶ ἀκέραιοι ὡς αἱ περιστεραί. Προσέχετε δὲ ἀπὸ τῶν ἀνθρώπων· παραδώσουσι γὰρ ὑμᾶς εἰς συνέδρια, καὶ ἐν ταῖς συναγωγαῖς αὐτῶν μαστιγώσουσιν ὑμᾶς. Καὶ ἐπὶ ἡγεμόνας δὲ καὶ βασιλεῖς ἀχθήσεσθε ἕνεκεν ἐμοῦ, εἰς



μαρτύριον αὐτοῖς καὶ τοῖς ἔθνεσιν. Ὅταν δὲ παραδίδωσιν ὑμᾶς, μὴ μεριμνήσετε πῶς ἢ τί λαλήσητε· δοθήσεται γὰρ ὑμῖν ἐν ἐκείνῃ τῇ ὥρᾳ, τί λαλήσεται. Οὐ γὰρ ὑμεῖς ἐστὲ οἱ λαλοῦντες, ἀλλὰ τὸ Πνεῦμα τοῦ Πατρὸς ὑμῶν, τὸ λαλοῦν ἐν ὑμῖν. Παραδώσει δὲ ἀδελφὸς ἀδελφὸν εἰς θάνατον, καὶ πατὴρ τέκνον, καὶ ἐπαναστήσονται τέκνα ἐπὶ γονεῖς, καὶ θανατώσουσιν αὐτούς. Καὶ ἔσεσθε μισούμενοι ὑπὸ πάντων διὰ τὸ ὄνομά μου· ὁ δὲ ὑπομείνας εἰς τέλος οὗτος σωθήσεται.

Μεγαλυνάριον.

Ἐπιδε ἐξ ὕψους μάρτυς σοφέ, τοὺς ἀνευφημοῦντας ἀθλοφόρε θαυματουργὲ Φανούριε θεῖε, ῥῦσαι πάντων κινδύνων τοὺς ἐπικαλουμένους, σοῦ ὄνομα.

Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον ἔσονται δίκαιοι.

**Τέλος τῆς Ἀκολουθίας τῶν Ἁγίων.**

---

## ΒΙΟΣ ΤΟΥ ΑΓΙΟΥ ΜΕΓΑΛΟΜΑΡΤΥΡΟΣ ΦΑΝΟΥΡΙΟΥ

Ὁ Ἅγιος Φανούριος ὁ ἔνδοξος μεγαλομάρτις καὶ προστάτης τῆς νήσου Ρόδου, νεοφανής ἐκ νέων θαυμάτων ἀπὸ τὸ 1500 μ. Χ. καὶ ἐντεῦθεν ἐγεννήθη εἰς ἓν Προάστειον τοῦ Ἡρακλείου τῆς Κρήτης ἔμεινεν ὀρφανὸς καὶ κατέφυγεν εἰς Ρόδον. Ἐπειδὴ ἀπὸ τὰς πολλὰς ἀνωμαλίας καὶ τοὺς μεγάλους διωγμοὺς τῶν Χριστιανῶν, ἐχάθησαν πολλὰ χειρόγραφα ἱστορικὰ καὶ Μαρτυρικά. Ἀφοῦ ὅμως οἱ Τοῦρκοι ἐκυρίευσαν τὴν νῆσον Ρόδον, ἠθέλησαν ν' ἀνακαινίσουν τὸ παλαιὸν φρούριον κείμενον Δς τῆς πόλεως ἓν στάδιον. Ἔξωθεν δὲ τοῦ φρουρίου τούτου ἦσαν καὶ ἐρείπια οἴκων ἀπὸ τὰ ὁποῖα οἱ τοῦρκοι ἔϐγαζαν πέτραις διὰ νὰ κτίσουν τὸ φρούριον. Ἐκεῖ σκάπτοντες εὗρον τὰ ἐρείπια μιᾶς ἐκκλησίας καὶ πολλὰς εἰκόνας ἐφθαρμένας, μόνη δὲ τοῦ ἁγίου Φανουρίου ἦτο σώα ὡς νά εἶχε εὔγῃ ἀπὸ τὸν ζωγράφον. Προσκληθεὶς ἀπὸ τὸν Ἀγᾶ ὁ Ἐπίσκοπος Ρόδου Νεῖλος, ἀνέγνω τὰ γράμματα «ἅγιος Φανούριος» εἶχε στολὴν στρατιωτικήν, νέος μὲ σταυρὸν εἰς χεῖρας καὶ λαμπάδαν ἀνημένην καὶ γύρω δώδεκα μαρτύρια ά) ὑϐριζόμενος ϐ) δερόμενος μὲ πέτρας εἰς τὸ στόμα καὶ εἰς τὴν κεφαλὴν γ) ἠ-

πλωμένον κατὰ γῆς καὶ τυμπανιζόμενος ὑπὸ στρατιωτῶν έ) ἐν φυλακῇ βασανιζόμενος ποικιλοτρόπως ὑπὸ ἀπίστων στ) ὑβριζόμενος αὖθις ὑπὸ δικαστῶν καὶ κλητήρων καὶ ὄχλων ζ) καιόμενος τὰς σάρκας μὲ λαμπάδας μεγάλας ἡ) μαγκανιζόμενος γυμνὸς εἰς μάγκανον λιναρίου, θ) ριπτόμενος ἐν μέσῳ τῶν θηρίων καὶ ἀβλαβῆ μένοντα ι) θηλακωμένος μὲ μέγα μάρμαρον εἰς τὸ στῆθος ιά) μὲ ἄνθρακας εἰς τὰς χεῖρας ἐν τῷ ναῷ τῶν εἰδώλων ἔνθα ὁ Σατανὰς θρηνεῖ τὴν ἧτταν του ἐν τῷ ἀέρι ιβ) ὄρθιος προσευχόμενος ἐν μέσῳ καμίνου καιομένης ἔχων πρὸς οὐρανὸν ὑψωμένας τὰς χεῖρας.

Ἀπὸ αὐτὰ τὰ βασανηστήρια ἐφάνη τὸ μέγα μαρτύριον τὸ ὁποῖον φαίνεται ὅτι συνέβη εἰς τὸν μέγαν διωγμὸν ἐπὶ Διοκλητιανοῦ τὸ 300 μ. Χ. τὴν 27 Αὐγούστου. Ὁ ἀρχιερεὺς ἐζήτησεν ἀπὸ τὸν Ἀγᾶν τὴν ἄδειαν νὰ κτίσουν τὴν Ἐκκλησίαν, ἀλλ' ὁ Ἀγᾶς δὲν εἶχεν ἐξουσίαν ἀδείας, ὅθεν ὁ ἀρχιερεὺς μετέβη εἰς Κωτσταντινούπολιν καὶ διὰ τοῦ Πατριάρχου ὅπου δίδονται αἱ ἄδειαι παρὰ τῆς Ὑψ. Πύλης, ἔλαβεν ἄδειαν καὶ ἔκτισε τὸν ναὸν ὡς φαίνεται ἕως σήμερον σχεδὸν 400 ἔτη, εἰς τὰ ὁποῖα ἔκαμε πολλὰ θαύματα ὁ ἅγιος ἐκεῖ εἰς τὸν ναόν του καὶ εἰς τὴν νῆσον καὶ πόλιν.

1) ὅταν οἱ Βενετοὶ ἐξουσίαζον τὴν Κρήτην, δὲν εἶχον ἀρχιερέα Ορθόδοξον, ἀλλὰ Λατίνον, ὅστις παντὶ σθένει προσεπάθει νὰ φέρῃ τοὺς Ὀρθοδόξους εἰς τὰ παπικὰ δόγματα· οἱ δὲ ἱερεῖς ἐπήγαιναν καὶ ἐχειροτονοῦντο εἰς Κήθυρα. Τρεῖς ἐξ αὐτῶν χειροτονηθέντες ἐπέστρεφον εἰς Κρήτην καὶ ἐνέπεσον εἰς πλοῖον πειρατικὸν καὶ ἠχμαλωτίσθησαν, οἱ δὲ πειραταὶ Ἀλγερινοὶ τοὺς ἔφερον καὶ ἐπώλησαν εἰς Τούρκους εἰς τὴν πόλιν Ρόδου. Ἐκεῖ ἤκουσαν τὰ πολλὰ θαύματα τοῦ ἁγίου Φανουρίου καὶ εὐθὺς ἔπεσαν εἰς δέησιν καὶ δάκρυα θερμὰ ἔχυναν ὡς αἰχμάλωτοι παρακαλοῦντες νὰ τοὺς ἐλευθερώσῃ ἀπὸ τὴν μαύρην σκλαβιάν τους, κατὰ τὴν ὁποίαν οἱ ἀγάδες τοὺς ἔβανον βαρυτάτας ἐργασίας καταναγκαστικάς· ἦσαν δὲ καὶ οἱ τρεῖς νεοχειροτόνητοι ἱερεῖς χωρισμένοι εἰς χωριστοὺς ἀγάδες πωλημένοι καὶ εἰς τὴν ἐκκλησίαν τοῦ ἁγίου Φανουρίου ἐβλέποντο καὶ ἔκλαιον τὰ βάσανά των χύνοντες δάκρυα κατέβρεχον τὸ ἔδαφος τῆς εἰκόνος τοῦ ἁγίου, καὶ ἀ-



νεχώρουν παρηγορημένοι ἐλπίζοντες εἰς τὸ Θεῖον ἔλεος. Ὁ πολυεύσπλαγχνος καὶ πανοικτήρμων Θεὸς ἤκουσε τὰς δεήσεις των «ὅτι θέλημα τῶν φοβουμένων αὐτὸν ποιήσει καὶ τῆς δεήσεως αὐτῶν εἰσακούσῃ καὶ σώσει αὐτούς» καὶ ἔστειλε τὸν ἅγιον Φανούριον εἰς τοὺς ἀγάδες ὅπου τοὺς ὥριζον, εἰς τὸν ὕπνον τους καὶ τοὺς εἶπε ν' ἀφήσουν τοὺς δούλους τοῦ Θεοῦ, νὰ ὑπάγουν εἰς τὰς πατρίδας των ἐλεύθεροι εἰ δὲ μὴ κακῶς θὰ ἀπωλέσει αὐτούς· οἱ ἀγάδες νομίζοντες μαγείαν τὸ πρᾶγμα τοὺς ἔβαλαν ἁλυσίδας εἰς τοὺς πόδας νὰ μὴ φύγουν· ὁ δὲ ἅγιος τὴν ἄλλην νύκτα ἦλθεν πάλιν εἰς τοὺς ἀγάδες καὶ τοὺς εἶπεν ὅτι ἂν αὔριον δὲν ἐλευθερώσετε τοὺς δούλους τοῦ Θεοῦ θὰ ἦσθε τυφλοὶ καὶ παράλυτοι καὶ τῷ ὄντι ἐξημερώθησαν μὲ μεγάλους πόνους, τυφλοὶ καὶ παράλυτοι, καὶ συμβουλευθέντες τοὺς συγγενεῖς των, ἔγραψαν καὶ ἔστειλαν τὰ τρία ἔγγραφα τῆς ἀπελευθερώσεως τῶν τριῶν ἱερέων εἰς τὴν εἰκόνα τοῦ ἁγίου καὶ ἕως ὅτου ἐπέστρεψε ὁ δοῦλος εὑρέθησαν ὅλοι ὑγιεῖς καὶ οὕτως ἀπελευθέρωσαν τοὺς ἱερεῖς καὶ τοὺς ἀπέστειλαν εἰς τὰς πατρίδας των, μὲ τὰ ἀνάλογα ἔξοδα τοῦ ταξειδίου των. Οἱ δὲ ἱερεῖς ἐζωγράφησαν τὴν εἰκόνα τοῦ ἁγίου Φανουρίου καὶ τὴν ἔφερον εἰς Κρήτην ὁπόθεν ἔγινε γνωστὸς εἰς ὅλην τὴν οἰκουμένην. Πολλὰ ἄλλα θαύματα ἐποίει ὁ ἅγιος καὶ ποιεῖ καθ' ἑκάστην μέχρι τῆς σήμερον. Οὗ ταῖς πρεσβείαις ὁ Θεὸς ἐλέησον καὶ σῶσον ἡμᾶς Ἀμήν.

# ΚΔ' Οἶκοι κατ' ἀλφάβητον εἰς τὸν μεγαλομάρτυρα τοῦ Χριστοῦ τροπαιοφόρον

## ΓΕΩΡΓΙΟΝ

**Κοντάκιον ἦχος πλ. δ'. Τῇ ὑπερμάχῳ.**

Τῷ πολυάθλῳ τοῦ Χριστοῦ μεγαλομάρτυρι. Νῦν Γεωργίῳ ἐκ ψυχῆς οἱ πάντες ἄσωμεν. Χαιρετίζοντες αὐτὸν ἱεροῖς ἐν οἴκοις. Ὡς λαμπρότατον μαρτύρων μέγαν ἥλιον, καὶ ὡς πρόμαχον πιστῶν καὶ ἀντιλήπτορα· πόθῳ κράζοντες· χαῖρε Μάρτυς Γεώργιε.

Ἄγγελος ἐν τοῖς ἄθλοις, ἀληθῶς ἀνεδείχθης, Γεώργιε, Χριστοῦ ἀθλοφόρε (ἐκ γ') ὑλικὸς γὰρ καὶ ἄσαρκος ὤν, γενναίως ὑπὲρ πίστεως ἐνήθλησας, ὡς ἄϋλος καὶ ἄσαρκος, διό σοι προσφωνῶ τοιαῦτα· Χαῖρε δειχθεὶς φύσις ὑπὲρ φύσιν· χαῖρε φανεὶς ὕλη ὑπὲρ ὕλην· χαῖρε νεανίου τερπνέ τε καὶ πάγκαλε· χαῖρε ἀθλητάρχε τοῦ Χριστοῦ ὡραιότατε· χαῖρε ἄγγελε ἐν σώματι, ὑπερβαίνων τοὺς βροτούς· χαῖρε ἄνθρωπε ἐγκόσμιε, ὑπερκόσμιε τῷ νῷ· χαῖρε ὅτι ἐν ἄθλοις ἡλιόμορφος ὤφθης· χαῖρε ὅτι τῷ εἴδει ὡς ἄγγελος ὡράθης· χαῖρε γυμνὴ ἐνέργεια χάριτος· χαῖρε σαφὴς ἀργία τῆς φύσεως· χαῖρε δι' οὗ ἡ πίστις ἀυψώθη· χαῖρε δι' οὗ ἡ πλάνη κατηργήθη.

Χαῖρε Μάρτυς Γεώργιε-

Βλέμματα διανοίας, ἔσχων κεκαθαρμένα προέκρινας παθεῖν ὑπὲρ Κτίστου, καὶ συνθανεῖν μᾶλλον αὐτῷ, ἢ ζῆν καὶ πρόσκαιρον ἔχειν ἀπόλαυσιν· στέφει γὰρ ἠράσθης μαρτύρων, στέφεσθαι καὶ ψάλλειν τῷ Κυρίῳ,

'Αλληλούϊα.

Γεωργὸς μὲν ἐδείχθης, φερωνύμως τρισμάκαρ, Γεώργιε τῆς θεοσεβείας· ἀσεβείας δὲ ἐκριζωτής, τὴν τῶν εἰδώλων πλάνην πᾶσαν προθέλυμνον ἀνασπῶν· διὸ ἄξιος ἀκούειν παρὰ πάντων ταῦτα. Χαῖρε σπορεὺς εὐσεβείας δένδρον· χαῖρε τομεὺς πλάνης ζιζανίων· χαῖρε ὁ εἰδώλων ἐκτείλας τὴν ἄκανθον· Χαῖρε ὁ ἐνσπείρας τῆς πίστεως ἄρουραν· χαῖρε ὅτι δένδρα ἀγλαόκαρπα ἤγαγες Χριστῷ· χαῖρε ὅτι πολλοὺς ἤνεγκας σεσωσμένους τῷ Θεῷ· χαῖρε ὁ φυτοκόμος τῆς Τριάδος λατρείας· χαῖρε ὁ ῥιζοτόμος τῆς δαιμόνων θρησκείας· χαῖρε ὁ γῆν ἀρώσας τὴν ἄκαρπον· χαῖρε Θεῷ αὐτὴν δείξας κάρπημον· χαῖρε δι' οὗ ἀθεΐα ἐψύγη· χαῖρε δι' οὗ Θεοῦ γνῶσις ἐφύη·



Χαῖρε Μάρτυς Γεώργιε.

Δύναμιν τὴν ἐξ ὕψους δεδεγμένος ὡράθης, γενναῖος ἀθλητής, στρατιῶται τοῦ ἀφθάρτου βασιλέως Ἰησοῦ φθαρτὸν βασιλέα μηδὲν πτοούμενος, ἀλλ' ἔνθους τῷ Κυρίῳ κράζων οὕτως 'Αλληλούια.

Ἔχων ὦ ἀθλοφόρε, θυρεὸν ὥσπερ μέγαν, τὴν πίστιν τοῦ Θεοῦ ἐν καρδίᾳ, ὡς λέων βρυχήσας φοβερός, μέσον τοῦ σταδίου ἀνδρείως ἔστηκας, θαρσαλέῳ φρονήματι, διὸ προσαγορεύομέν σε. Χαῖρε Θεοῦ ὁ παγκρατεάρχης· Χαῖρε Χριστοῦ ὁ στρατοπεδάρχης· χαῖρε μονάρχε ἀήττητε πίστεως· χαῖρε νικηφόρε μεγάλαθλε χάριτος· χαῖρε Δαυῒδ ἰσχυρότατε, Γολιὰθ καταβαλών· χαῖρε Σαμψὼν ἀνδρειότατε, ἀλλοφύλους καθελών· Χαῖρε τῆς εὐσεβείας ὁ ὀλυμπιονίκης· Χαῖρε τῆς ἀσεβείας κράτιστος καταπέλτης· χαῖρε πλουτῶν καρδίαν σιδήριον· χαῖρε αὐχῶν στῆθος ἀδαμάντινον· χαῖρε σταυροῦ ἀριστεὺς τροπαιοῦχος· χαῖρε πιστῶν γίγας ὁ δαφνηφόρος·

Χαῖρε μάρτυς Γεώργιε·

Ζῆλον ζηλῶν Κυρίῳ, ὡς Ἠλίας τὸ πάλαι, αὐτόκλητος τὸ σκάμμα εἰσῆλθες, οὐκ ἠνέσχον ἁμαρτωλῶν ἔλαιον, λιπαίνειν σὴν κεφαλὴν ἅγιε· διὸ ἀξίαν κόμητος ἔρριψας τούτοις, Θεῷ μέλπων 'Αλληλούϊα.

Ἤκουσας ἀθλοφόρε, τῶν βεβήλων δογμάτων, ἃ ἔγραψαν οἱ εἰδωλολάτραι κατὰ Χριστωνύμων Χριστοῦ, καὶ ψυχὴν ἐπλήγης ὡς Χριστομίμητος· διὸ κόσμου καὶ σώματος κατέκτυσας, ὅθεν ἀκούεις· Χαῖρε φθαρτὸν πλοῦτον ὁ μισήσας, χαῖρε πτωχοῖς τοῦτον διανείμας· χαῖρε ἡδονῶν τῶν γηΐνων πολέμιε· χαῖρε ἀγαθῶν τῶν τῆς ὕλης ὑπέρτερε· χαῖρε ὅτι κόσμον ἅπαντα κατεπάτησας ποσί· χαῖρε ὅτι δόξαν ῥέουσαν ἀπετίναξας εἰς γῆν· χαῖρε ὁ παραβλέψας τῆς νεότητος ἄνθος· χαῖρε ὁ μὴ οἰκτείρας τῆς σαρκός σου τὸ κάλλος· χαῖρε ζωῆς μηδόλως φει-

σάμενος· χαῖρε ἐχθρὲ τοῦ σώματος ἄσπονδε· χαῖρε ὁ σχὼν ἀπροσπάθειαν πάντων, χαῖρε χαρᾶς, ὁ μετάσχων ἀρρήτου, χαῖρε Μάρτυς Γεώργιε.

Θείους ἔρωτας ἴσχες, ἐν καρδίᾳ σου Μάρτυς, καὶ πῦρ τῆς πρὸς Χριστὸν ἀγάπης, ὑφ' οὗ θερμανθεὶς τὸν λογισμόν, ἔνθεος ὅλος καὶ πύρινος γέγονας, καὶ ἅπαντα λελόγισαι τὰ παρόντα ὡς ὄναρ, κράζων

'Αλληλούια.

Ἵνα τί καὶ βραδύνῃς δικαστά, καὶ οὐ πάσας βασάνους μοι ταχὺ ἑτοιμάζεις· τῷ Διοκλητιανῷ ὁ ἀθλητὴς ἔλεγε Γεώργιος· καὶ γὰρ ἅπαντα ἕτοιμός εἰμι δέξασθαι δι' ἐμοῦ Κτίστην καὶ ἀκοῦσαι.

Χαῖρε Θεοῦ ὁ μανικὸς ἔρως· χαῖρε Χριστοῦ ἐμπρηστήριος πόθος· χαῖρε τῆς ἀγάπης τῆς θείας πῦρ ἄσβεστον· χαῖρε τοῦ Δεσπότου φίλτρον τὸ ἀένναον· χαῖρε ὅτι πάντα δέδωκας καὶ ὠνήσω τὸν Χριστόν· χαῖρε ὅτι τρυφὰς ἥγησας τὰ δεινὰ διὰ Θεόν· χαῖρε σαρκὸς τὸν πόθον διὰ φλογὸς ὁ σβέσας· χαῖρε κόσμου τὸν πόθον διὰ πόθου νικήσας· χαῖρε καλῆς βακχείας ὁ κάτοχος· χαῖρε φιλῶν ὁμοῦ καὶ φιλούμενος· χαῖρε σαυτοῦ ἐκδημῶν ὅλος ὅλως· χαῖρε Χριστῷ ἐνδημῶν ὅλος ὅλῳ.

Χαῖρε Μάρτυς Γεώργιε

Κατεπλάγη τὸ μέγα τῆς ἀνδρείας σου θαῦμα, ὁ τύραννος Γεώργιε Μάρτυς, καὶ τοῖς λόγοις σου ἐμβροντηθείς, ἐννεὸς καὶ ἄφωνος ἰχθὺς γέγονεν· οὐ γὰρ εἶχέ τι λέγειν, οὐδὲ οἶδε τῷ Κυρίῳ ψάλλειν·

'Αλληλούια.

Λαμπροφανῶς ὦ Μάρτυς, εἰς ὑπήκοον πάντων, ἐν μέσῳ τοῦ σταδίου ἐβόας. Εἷς ὑπάρχει Θεὸς ἡ Τριάς· ὁ Πατήρ, ὁ Υἱός, καὶ Πνεῦμα ἅγιον· καὶ Θεός ἐστιν ὁ Χριστός· διὸ καὶ χαιρετίζομαι·

Χαῖρε λαμπρὲ τῆς Τριάδος κήρυξ· χαῖρε τερπνὴ τῆς πίστεως σύριγξ· χαῖρε ἀηδὼν λιγυρὰ καὶ πολύφωνος· χαῖρε χελιδὼν ᾠδικὴ καὶ τορόφθογγος· χαῖρε χείλη οὐρανόβροντα τῆς θεότητος Χριστοῦ, χαῖρε γλῶσσα ἡ μελίρρυτος οἰκονομίας Αὐτοῦ· χαῖρε ὁ δημηγόρος ὁ τῆς θεολογίας· χαῖρε ὁ κομψὸς ῥήτωρ τῆς πιστῶν εὐσεβείας· χαῖρε σειρὴν πατρὸς ἡ θελκτήριος, χαῖρε ψαλτὴρ τοῦ Πνεύματος εὔηχος· χαῖρε δι' οὗ τὸ ἀληθὲς ἐδείχθη, χαῖρε δι' οὗ τὸ ψευδὲς ἀπηλέγχθη.

Χαῖρε Μάρτυς Γεώργιε.

Μέγιστα πάντα τρόπον τῶν βασάνων τὰ εἴδη, ἃ πέπονθας Μάρτυς, καὶ νοούμενα γὰρ μόνον αὐτά, κάμπτει καρδίαν καὶ τὴν ἀδα-



μάντινον, ἀλλὰ σὺ ταῦτα ὑπέμεινας μετὰ χαρᾶς, τὸν ὕμνον ψάλλων

'Αλληλούια.

Νέος μὲν ἡλικίαν, πολιὸς δὲ τὰς φρένας ἐδείχθης ὦ Γεώργιε Μάρτυς, ὅθεν καὶ τὰς κολάσεις στερρῶς, ὥσπερ τινὸς ἄλλου πάσχοντος πέπονθας ἐν γεραρῷ φρονήματι, διό σοι κελαδῶ τοιάδε·

Χαῖρε αἰχμῇ κεντηθεὶς γαστέρα· χαῖρε ξανθεὶς βουνεύροις τὸ σῶμα· χαῖρε ὁ τὸ στόμα δαρεὶς πολλαῖς μάστιξι, χαῖρε ὁ τὰς χεῖρας δεσμευθεὶς ἀλύσεσι· χαῖρε ὅτι προσωμίλησας τῷ ξιφηφόρῳ τροχῷ· χαῖρε ὅτι λίθον δέδεξαι ἐπὶ τῷ στήθει τῷ σῷ· χαῖρε πεπυρωμένας φορέσας ἐμβάδας, χαῖρε ὁ ἐν ἀσβέστῳ τρεῖς ἡμέρας ποιήσας, χαῖρε ποτὸν πιὼν δηλητήριον, χαῖρε βληθεὶς ὀξυτάταις ἐν λόγχαις, χαῖρε λαβὼν τελευτὴν διὰ ξίφους.

Χαῖρε Μάρτυς Γεώργιε.

Ξένα ὄντως ὑπάρχει καὶ παράδοξα, ἃ ἔδρασας Μάρτυς ἐν τῷ καιρῷ ἀγώνων τῶν σῶν, καὶ μετὰ τοὺς ἀγῶνας τῷ πλήθει ἄπειρα, τῇ δυνάμει δὲ μέγιστα, Θεῷ τὸν ὕμνον ψάλλων. 'Αλληλούια

Ὅλον ἔχων ἐν στέρνοις, τὸν Χριστὸν ἐν ἁγίοις, δι' αὐτοῦ ἐνήργεις τὰ φρικτά, καὶ πέρας διανοίας ὄντα θαυμαστά, ἃ ἡμεῖς ἐκπληττόμενοι, σὺν θαύματι ἀναβοῶμεν.

Χαῖρε λογχῶν τὰ ἄκρα ἀμβλύνας, χαῖρε τροχοῦ βάσανον νικήσας, χαῖρε ὁ ἀσβέστου φανεὶς ἀκμαιότερος, χαῖρε ὁ φαρμάκου δειχθεὶς ἰσχυρότερος· χαῖρε ὅτι νεκρὸν ἤγειρας ἐκ τοῦ τάφου παλαιόν, χαῖρε ὅτι ἐξανέστησας τοῦ Γλυκερίου τὸν βοῦν, χαῖρε ἐκ Βουλγαρίας ὁ παῖδα διασώσας, χαῖρε ὁ ἐκ Κρήτης ἄλλον παῖδα ἁρπάσας· χαῖρε δι' οὗ παιδίον νενίκηκε, χαῖρε ὑφ' οὗ δεσμεύονται ἔμποροι, χαῖρε ὁ δεχθεὶς τὸν κίονα τῆς χήρας, χαῖρε Θεοὺς Ἑλλήνων ὁ συντρίψας.

Χαῖρε Μάρτυς Γεώργιε

Πᾶσα φύσις 'Αγγέλων ἄνωθεν καθορῶσα, ἑστῶτά σε ἐν μέσῳ τοῦ σταδίου, νεανίαν ἄλκιμον Χριστοῦ μονομαχοῦντα, ἐκρότει, ἐπήνεισε, καὶ χαίρουσα ἐδόξαζε τὸν Κύριον, τὸν ὕμνον ἐκβοῶσα·

'Αλληλούια

Ῥήτορα τῶν δογμάτων, εὐσεβείας τρισμάκαρ, καὶ θαύματα πολλὰ ἐκτελοῦντά σε, ἐν γῇ ὁρῶντες οἱ λαοί, πρὸς τὴν θείαν πίστιν τοῦ Χριστοῦ ἐνήρχοντο, καὶ ἔχαιρον τῷ πνεύματι, τοιαῦτά σοι ἀναφωνοῦντες.

Χαῖρε τὸ θέατρον τῶν 'Αγγέλων, χαῖρε τὸ θέαμα τῶν ἀνθρώπων, χαῖρε οὐρανίων δυνάμεων ἥδυσμα, χαῖρε ἐπιγείων βροτῶν ἀγαλ-

λίαμα, χαῖρε ὅτι δόξα γέγονας οὐρανοῦ τε καὶ τῆς γῆς, χαῖρε ὅτι χαρὰν ἤνεγκας καὶ ἀγγέλοις καὶ βροτοῖς· χαῖρε τοῦ ἄνω κόσμου ἐντρύφημα ὡραῖον, χαῖρε τοῦ κάτω κόσμου σεμνολόγημα θεῖον· χαῖρε γλυκὺ τῶν νόων ἀγλάϊσμα, χαῖρε ἡδὺ ψυχῶν ἐγκαλλώπισμα, χαῖρε δι' οὗ Ἐκκλησία χαίρει, χαῖρε δι' οὗ πᾶς ὁ κόσμος χορεύει

Χαῖρε Μάρτυς Γεώργιε

Σύστημα τῶν δαιμόνων, καθορῶντές σε Μάρτυς, νικήσαντα αὐτοὺς ἐν τοῖς ἄθλοις, τὴν ἧτταν αὐτῶν ὀλολυγμῷ πικρῶς ἐθρήνουν, καὶ ταῦτα ἔλεγον· πῶς ὁ σαρκοφόρος, ἀσάρκους ἐνίκησε, καὶ Θεῷ ψάλλει·

Ἀλληλούια

Τρόπαιον ἀνεστήσω, καὶ παγκράτιον μέγα Ἑλλήνων, κατὰ πάσης τῆς πλάνης· διὸ καὶ τροπαιοφόρος, Σὺ μόνος ὀνομάζει Μάρτυς Γεώργιε· ὅπερ ἡμεῖς θαυμάζομεν, ἐφύμνια βοῶμεν ταῦτα.

Χαῖρε δαιμόνων ὁ καταλύτης, χαῖρε Ἑλλήνων ὁ καθαιρέτης, χαῖρε ὁ συντρίψας τὰ ἄψυχα εἴδωλα, χαῖρε ὁ ἐλέγξας αὐτῶν τὸ μηχάνημα, χαῖρε ὅτι ἐθριάμβευσας ἐξουσίας καὶ ἀρχάς, χαῖρε ὅτι τοῖς σοῖς αἵμασιν ἔπνιξας Λευϊαθᾶν, χαῖρε ὁ τῆς ἀπάτης τὴν πυρὰν κατασβέσας, χαῖρε πολυθεΐας πλατυσμὸν ὁ συστείλας, χαῖρε πρηστὴρ βωμῶν φλογερώτατε, χαῖρε τυφλῶν ξοάνων σφοδρότατε, χαῖρε δι' οὗ ὁ σατανᾶς οἰμώζει, χαῖρε δι' οὗ Ἑλληνισμὸς στενάζει·

Χαῖρε Μάρτυς Γεώργιε.

Ὑπαντῶσιν ὦ Μάρτυς, τῇ ἁγίᾳ ψυχῇ σου, τὰ τάγματα ἁγίων πάντων, ἀνερχομένῃ εἰς τοὺς οὐρανούς, καὶ μετὰ ἀγγέλων τὸν ἐπινίκιον ὕμνον, Θεῷ ἠλάλαζον, ἐν εὐφροσύνῃ ψάλλοντες συμφώνως·

Ἀλληλούια

Φῶς τὸ ἄδυτον βλέπεις, τῆς Ἁγίας Τριάδος ἀμέσως ὦ Γεώργιε Μάρτυς· καὶ χαίρεις νῦν τὴν ὄντως χαράν, ἀτελεύτητόν τε καὶ ἀνεκλάλητον, δι' ἄθλα ἃ ὑπέμεινας ὑπὲρ αὐτῆς· διὸ βοῶ σοι

Χαῖρε ζωῆς τρυφῶν ἀθανάτου, χαῖρε φωτός, μετασχὼν ἀρρήτου, χαῖρε τῶν ἀΰλων ἀγγέλων συνόμιλε, χαῖρε τῶν Ἁγίων ἁπάντων ὁμόσκηνε, χαῖρε ὅτι πρὶν συνέπαθες τῷ πεπονθότι Χριστῷ, χαῖρε ὅτι συνδεδόξασαι νῦν δοξασθέντι Αὐτῷ, χαῖρε ὁ βασιλείας οὐρανῶν ἀπολαύσας, χαῖρε τῆς αἰωνίου δόξης ὁ κοινωνήσας· χαῖρε φορῶν ἀμάραντον στέφανον, χαῖρε λαβὼν κατὰ χάριν θέωσιν, χαῖρε Θεοῦ ἄληκτε κληρονόμε, χαῖρε Χριστοῦ θεῖε συγκληρονόμε.

Χαῖρε Μάρτυς Γεώργιε.



Χάριν εἴληφας Μάρτυς, ἐκ Θεοῦ τοῦ ἰᾶσθαι, τὰ πάθη τῶν ψυχῶν καὶ σωμάτων, διὸ παράσχου ἡμῖν τοῖς σοῖς νεωκόροις, καὶ κατ' ἀμφότερον πάσχουσιν· ἀλλὰ κράζουσι Θεῷ τὸν τερπνὸν ὕμνον.

Ἀλληλούια

Ψάλλοντες τὴν μνήμην, καὶ ἄθλησιν Μάρτυς, κροτοῦμεν ἱερομελῳδίαις· σὲ ἀνευφημοῦμεν ἐκ ψυχῆς, ὡς θερμὸν προστάτην, κόσμου καὶ φύλακα· ᾄσμασιν ὡς χείλεσιν ἅπαντες προσπτυσσόμεθά σοι.

Χαῖρε πτωχῶν ὁ ἄσυλος πλοῦτος, χαῖρε χηρῶν ὁ μέγας προΐστωρ, χαῖρε εὐεργέτα πιστῶν πολυποίκιλε, χαῖρε ἀσθενούντων ἰατρὲ ἀδάπανε, χαῖρε ὅτι πᾶσιν ἅπαντα γίνῃ διὰ τὸν Χριστόν, χαῖρε ὅτι κόσμον ἅπαντα ἐλευθερεῖς ἐκ τῶν δεινῶν, χαῖρε τῶν ἐν ἀνάγκαις ὁ ταχὺς ἀντιλήπτωρ, χαῖρε τῶν θλιβομένων ὁ ὀξὺς παρακλήτωρ, χαῖρε πηγὴ θαυμάτων ἀκένωτε, χαῖρε ροὴ χαρίτων ἀένναε, χαῖρε ναοῦ τοῦ ἐν Λύδδῃ τὸ θαῦμα, χαῖρε κοινὲ πρεσβευτὰ καὶ μεσῖτα·

Χαῖρε Μάρτυς Γεώργιε.

Ὦ Γεώργιε Μάρτυς! τὸ γλυκὺ πιστοῖς καὶ ὄνομα καὶ πρᾶγμα ὑπάρχων (ἐκ γ') (ἐφύμνιον τοῦτο τὸ βραχύ, ὃ προσφέρομέν σοι, εὐμενῶς πρόσδεξαι, καὶ ἐκ παντοίας ῥῦσαι περιστάσεως, τοὺς μελῳδοῦντας

Ἀλληλούια

('Εδόθησαν ἐκ τῶν χειρογράφων τοῦ Ἁγίου Ὄρους Ἄθω.

---

## ΕΥΧΗ ΚΑΤΑΝΥΚΤΙΚΗ ΚΑΤ' ΑΛΦΑΒΗΤΟΝ

### Πρὸς τὴν Ὑπεραγίαν Θεοτόκον

'Ανεσπαίρου Φωτός. Ἡ γεννήτρια, ἐξ 'Αγγέλων τε πρόσχες μοι δέομαι.

Βεβωρβώρομαι γὰρ καὶ ρερύπομαι, καὶ ζωφόδης ὁ τάλας γεγένομαι.

Γῆν ἐμίανα οἴμι ὁ ἄθλιος. Ταῖς πολλαῖς ἁμαρτίαις μου Δέσποινα.

Διὰ τοῦτο βοῶ νῦν στενάζουσα κατ' ἐμοῦ πρὸς Κριτὴν τὸν 'Αδαίκαστον.

'Επιφέρουσα οἴμι καὶ Μάρτυρας, οὐρανὸν, σὺν τοῖς ἄστροις καὶ ἥλιον.

Ζάλη δὲ λογισμῶν μὲ κατέλαβε καὶ βυθίζει λοιπὸν πρὸς ἀπήγνωσιν.

Ἡ ψυχή μου τῷ τρόμῳ συνέχεται, ἀναμένουσα φεῦ τὴν ἀπώφασιν.

Θεοτόκε τὴν πᾶσαν ἐλπίδα μου ἐπὶ σὲ ἀνατίθημι ὁ ἄθλιος.

Ἴδε πάσης αἰσχύνης πεπλήρωται τοῦ ἱκέτου σου οἴμι τὸ πρόσωπον.

Καὶ δυσώπη ἀπαύστως ὃν ἔτεκες οἰκτηρῆσαι καμὲ τὸν ἀνάξιον.

Λῦσον μόνη δεσμοὺς τοὺς ἀλύτους μου λυτρωτὴν, ἡ τῷ κόσμῳ κοιήσασα.

Μελανθέντα καὶ σκότος γενόμενον, μετανοίας με δάκρυα λεύκανον.

Νεκροθέντα πολὺ ραθυμία με, τὴν ζωήν μου ἡ τέξασα ἔγειρον.

Ξενωθέντα Θεοῦ καὶ 'Αγγέλων μὲν, πρὸς αὐτοὺς ἐπανάγαγε αὖθις δέ.

Ὄντως θαῦμα φρικόν, πῶς ὑπέμεινε τὰς ἐμᾶς ἁμαρτίας ὁ Κύριος.

Πῶς εὐθὺς καὶ εἰς πυθμένα με ζῶντα οὐ κατήγαγε, τὸν πανάθλιον;

Ταυτὸν ὃν κατέπεμψεν ἄνωθεν ἀφανῶς ἢ ρομφαίαν πατᾶξέ με.

Σὺ δὲ πᾶντας ταῖς σαῖς παρακλήσεσι τὴν ζωὴν ἐδωρήσατο Δέσποινα.



Τὴν ἐμὴν ἐκζητοῦσα μετάνοιαν, ἣν αὐτήν μοι πιράσχου τῷ δούλῳ σου.

Ὑπεράγαθε σὺ γὰρ καὶ τοῖχος καὶ λιμὴν καὶ ὀχύρωμα πέφυκες.

Φῶς μοι λᾶμψον τοῦ θείου προσώπου σου ἐν νυκτὶ ἀμελίας καθεύδοντι.

Χάρισον μοι κατάνυξιν Δέσποινα στεναγμοὺς ἀσυγχείτους καὶ δάκρυα.

Ψυχικάς μου κυλῖδας ἀπόπλυνον καὶ τελεῖαν μοι δώρισε ἄφεσιν.

Ὦ Βροτὸς, θεοφόρος ὑπάρχουσα, καὶ Θεὸν βροτοφόρον κοιήσασα.

Ἤδη μοὶ σὺ Μαρία Πανάχραντε, νοεροῖς ὀφθαλμοῖς κεχάρισαί μοι.

Ὦ ἰσχὺς ! ὢ ἐλπὶς ἀκαταίσχυντε Ὦ ζωὴ καὶ γλυκὺ φῶς τῶν δούλων σου.

'Απὸ γλώττης βεβήλου καὶ στώματος ρυπαροῦ τὴν εὐχὴν ταύτην πρόσδεξε.

Νὺν καιρὸς βοηθείας καὶ σύπομαι ἐκ παθῶν καὶ τραυμάτων καὶ θλίψεων.

Νὺν χαρίτοσαν ἄγγελοι δέσποινα ἐπ' ἐμοὶ, καὶ δικαίων τὰ πνεύματα.

Ὅπως ἣν εὐχαρίστως δοξάζαι σου ἀληθῶς τὸ Πανάγιόν σου ὄνομα.

Ὑπερύμνητε Δέσποινα οἶδα γὰρ, πρὸς Θεὸν ὅσα θέλεις οὗ ἔτεκες.

('Εδόθησαν ἐκ Κ. Εὐαγγέλου Μάνθου τοῦ ἐξ Ὕδρας)

ΓΕΩΡΓΙΟΣ Α. ΒΟΥΤΕΡΗΣ Ἱερεὺς

# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ

## ΕΙΣ ΤΗΝ ΟΣΙΑΝ ΜΗΤΕΡΑ ΗΜΩΝ ΚΑΙ ΒΑΣΙΛΙΣΣΑΝ

## ΘΕΟΔΩΡΑΝ 11 Μαρτίου

**Σύζυγον τοῦ ἐν Ἄρτῃ Βασιλεύσαντος**

**ΜΙΧΑΗΛ ΔΟΥΚΑ**

ὑπὸ τοῦ Ἄρτης **Σεραφείμ.**

---

Μετὰ τὸν εὐλογητόν, τὸ Κύριε εἰσάκουσον. Εἶτα τό, Θεὸς Κύριος, καὶ τὸ Τροπάριον ἦχος δ΄ ὁ Ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Τῆς Βασιλίδος τοῖς λειψάνοις προσδράμωμεν, οἱ ἐν κινδύνοις καὶ ἐνδέως προσπέσωμεν, πόθῳ ψυχῆς κραυγάζοντες καὶ λέγοντες αὐτῇ. Βασιλεῦ βοήθησον ἡμῖν πᾶσι τοῖς τέκνοις, ρῦσαι καὶ ἀπάλλαξον νόσων τε καὶ κινδύνων, τοὺς σοὺς οἰκέτας θείαις σου εὐχαῖς, κλέος τῆς Ἄρτης Θεοδώρα Πάνσεμνε.

Δόξα καὶ νῦν. Τῇ Θεοτόκῳ ἐκτενῶς, ὁ Ν. καὶ ὁ Κανών, ἔχων Ἀκροστιχίδα ἐν τοῖς Θεοτοκίοις **Σεραφείμ.**

Ὠδὴ ά ἦχος πλ. δ΄ Ὑγρὰν διοδεύσας.

Ἱλάσθητι Ὁσία τοῖς ταπεινοῖς, καὶ Θεὸν τὸν ὅλον, καθικέτευσον ἐκτενῶς, κινδύνους καὶ νόσους, Θεοδώρα, ἀποσοβῆσαι ἀπὸ τῶν τέκνων σου.

Στέφος κοσμηθεῖσα ἀσκητικῷ καὶ ἐνηδομένη, Θεοδώρα ἐν Οὐρανῷ, δώρησαι ὑγείαν σαῖς πρεσβείαις, τοῖς σὲ τιμῶσι καὶ πόθῳ γεραίρουσι

Ἔκλαμπρον ἐδέξω παρὰ Θεοῦ στέφος, Θεοδώρα, καὶ τῷ θρόνῳ αὐτοῦ ἀεὶ παρίστασαι· ὑγείαν δυσωποῦσα, καὶ σωτηρίαν σοῖς τέκνοις δωρήσασθαι.

Θεοτοκίον

Συνέχομαι κινδύνοις καὶ πειρασμοῖς, καὶ πρὸς σὲ Παρθένε, κατα-



φεύγων ἐπιζητῶ, τὴν λύσιν αὐτῶν καὶ σωτηρίαν· διὸ λιταῖς σου τὸν δοῦλόν σου οἴκτειρον.

Ὠδὴ Γ΄ Σὺ εἶ τὸ στερέωμα.

Ἡμᾶς τοὺς γεραίροντας, τοὺς ἐν ἀσκήσει ἀγῶνάς σου, ταῖς σαῖς εὐχαῖς, ἐκ νόσων παντοίων, Θεοδώρα ἀπάλλαξον.

Τὰ ἆθλά σου μάλιστα, ὦ ΘεοδώραΠανεύφημε· ρῦσαι διό, εὐχαῖς σου κινδύνων, καὶ ἐκ νόσων τὴν ποίμνην σου.

Ἀνδρείας πανθαύμαστον, καὶ τῆς ἁγνοίας ὤφθης ὑπόδειγμα· διὸ κἀμὲ ἁγνοίαν εὐχαῖς σου, Θεοδώρα ἀξίωσον.

Θεοτοκίον

Ἔχων τὴν ἐλπίδα μου εἰς σὲ Πανύμνητε Δέσποινα, ὅλην, παθῶν καὶ κινδύνων ρῦσαι τὴν ψυχήν μου πρεσβείαις σου.

Ὠδὴ δ΄ Εἰσακήκοα Κύριε.

Αὐγασθεῖσα ἐλλάμψεως πνεύματος ἁγίου, θεοδωρώνυμε, τὴν ψυχήν μου καταλάμπρυνον, οὐρανίᾳ δόξῃ ταῖς πρεσβείαις σου.

Φωτοφόρων ἐλλάμψεων, ἃς περ Θεοδώρα, ἀπολαμβάνεις νῦν, ἀπολαῦσαι τούτων πρέσβευε, πάντας τοὺς πιστῶς ἀνυμνοῦντάς σε.

Σαῖς εὐχαῖς με ἐνίσχυσον, κατ' ἀσθενειῶν τε ἀεὶ καὶ θλίψεων, Θεοδώρα ἀξιάγαστε. Ἀνασσῶν τὸ κλέος τε καὶ σέμνωμα.

Θεοτοκίον

Ρῶσιν ἄνοσον δίδου μοι, καὶ πάθη ἀνίατα καταπράϋνον, εὐσπλαγχνίας τῇ μετώπει σου, ὡς Θεὸν τεκοῦσα ἀπειρόγαμε.

Ὠδὴ έ Φώτισον ἡμᾶς

Σθένει τοῦ Θεοῦ, τὸν ἐχθρὸν καταπολέμησαι· διὸ καὶ ἡμᾶς πάντας ταῖς σαῖς εὐχαῖς, ὦ Θεοδώρα, κατ' ἐχθρὸν νῦν ἐνδυνάμωσον.

Σῶσον τοὺς εἰς σέ, Θεοδώρα, προσπελάζοντας, καὶ παντοίων νόσων καὶ περιστάσεων, ταῖς σαῖς πρεσβείαις, φιλαδέλφως ἐλευθέρωσον.

Δῶρον τοῦ Θεοῦ σὺ ὑπάρχουσα ἐπώνυμος, πᾶσι δωρηθῆναι τὸ θεῖον ἔλεος, ὦ Θεοδώρα ἱκεσίαις σου ἀξίωσον.

Θεοτοκίον

Ἄχραντε σεμνή, θείῳ ὕδατί με ράντισον, καὶ ταῖς λιβάσι τοῦ ἐλέους σου, σταγόνας δίδου τῶν δακρύων ὑετίζω με.

Ὠδὴ στ΄ Ἱλάσθητί μοι Σωτὴρ

Ἰσχύι τοῦ Παντουργοῦ, ὦ Θεοδώρα πανέντιμε, πλεκτάνας τοῦ

ΖΩΣΙΜΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

πονηροῦ σοφῶς κατεφρόνησας· καμὲ νῦν ἀξίωσον, καταλῦται σθένει τοῦ Θεοῦ, Σατὰν τὸν δόλιον.

Ἠράσθης φωτὸς Θεοῦ, ὦ Θεοδώρα ἀοίδιμε, καὶ πάντα τὰ ἀγαθὰ τῆς γῆς κατεφρόνησας· κἀμὲ ἣν ἀξίωσον, φωτισθῆν' εὐχαῖς σου, οὐρανίαις ἐπιλάμψεως.

Σὺν τοῖς Ἀγγέλοις νυνὶ, ὦ Θεοδώρα χορεύουσα ἐνώπιον τοῦ Θεοῦ, πρεσβείαις προσάγαγε ὑπὲρ τῶν τιμόντων σε, καὶ τῶν γεραιρόντων τὴν σεβάσμιόν σου κοίμησιν. Θεοτοκίον

Φωτὸς νεφέλη σὺ εἶ καί τοῦ Θεοῦ θρόνος ἔνδοξος, Παρθενομῆτορ Ἁγνή· ψυχῆς οὖν τὰ ὄμματα τῆς ἐμῆς νῦν φώτισον, καὶ παθῶν ἀχλύος τὴν καρδίαν μου καθάρισον.

Διάσωσον νόσων παντοίων καὶ θλίψεων Θεοδώρα, βασιλισσῶν τὸ κλέος καὶ καύχημα τοὺς προσιόντας σοι καὶ τιμῶντάς σε πόθῳ.

καὶ Θεοτοκίον. Ἄχραντε. Ὁ ἱερεὺς μνημονεύει. Εἶτα τὸ

Κοντάκ. ἦχ. β'

Θείων δωρημάτων Θεοδώρα ἐπώνυμε ὁσίων σύσκηνε καὶ βασιλισσῶν ἀγλάϊσμα, ἐγκαρδίως βοῶμέν σοι πρόφθασον καὶ ἐκ παντοίας βλάβης λύτρωσαι ἡμᾶς, ταῖς πρὸς τὸν Σωτῆρα θερμαῖς ἱκεσίαις σου.

Καὶ εὐθὺς τὸ προκείμενον ἦχ. δ'.

Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι.

Στίχ. Καυχήσονται ὅσιοι ἐν δόξε.

Εὐαγγέλιον κατὰ Ματθαῖον (Ζήτει, ζ' ιζ'

Δόξα. Ταῖς τῆς σῆς Ὁσίας.

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.

Στίχ. Ἐλεῆμον ἐλέησόν με ὁ Θεός ἦχος πλ. β' ὅλην ἀποθέμενοι

Χαίροις εὖχος ἔνδοξον Ἀκαρνανίας καὶ Ἄρτης, κλέος τε καὶ σέμνωμα, καὶ πηγὴ ἀκένωτος τῶν ἰάσεων· χαίροις ἀείφωτος λαμπὰς ἡ φωτίζουσα Αἰτωλίαν τοῖς σοῖς θαύμασι· χαίροις ἐπίσκεψις καὶ ῥῶσις ἐν νόσοις τῶν τέκνων σου. Σὲ οὖν καθικετεύομεν πρέσβευε Χριστῷ τῷ Παντάνακτι, ὑπὲρ σωτηρίας, εἰρήνης τε διηνεκοῦς καὶ ὑγιείας τῆς ποίμνης σου, Θεοδώρα πάνσεμνε.



Τὸ Σῶσον ὁ Θεὸς κτλ. Ὠδὴ ζ'. Παῖδες Ἑβραίων.

Νῦν καθορῶσα, Θεοδώρα, τὴν πανέκλαμπρον τοῦ Πλάστου θείαν θέαν, ἱεραῖς σου εὐχαῖς, δώρησαι τὴν κατ' ἄμφω, ὑγείαν τοῖς ὑμνοῦσι σε καὶ προστρέχουσι τῇ σκέπει.

Πίστει τιμῶντες τὴν σὴν μνήμην, Θεοδώρα, οἱ ταπεινοί σου δοῦλοι, εὐλαβῶς καὶ πιστῶς δεόμεθά σου ῥῦσαι, ταῖς θείαις ἱκεσίαις σου, ἐκ κινδύνων ἀδοκήτων.

Ὦ Θεοῦ δώρου Θεοδώρα παναγία ἐπώνυμε, σοῖς τέκνοις, τὸν δοτῆρα Θεὸν τῶν ἀγαθῶν δυσώπει δοῦναι ἡμῖν τὴν ἄφεσιν, τῶν πολλῶν ἁμαρτημάτων. Θεοτοκίον

Ἔμμονον ἔχων τὴν κακίαν, καὶ δουλούμενος ἀτόποις συνηθείαις, εὐσπλαχνίᾳ τῇ σῇ προστρέχω ἀνακράζων, διάσωσόν με Πάναγνε, μητρικαῖς σου ἱκεσίας.

Ὠδὴ ή. Τὸν Βασιλέα τῶν οὐρανῶν.

Ρῶσιν κατ' ἄμφω, ὦ Θεοδώρα, δυσώπει τοῖς σοῖς δούλοις, εὐχαῖς σου, δωρηθῆναι, καὶ δεινῶν παντοίων ἀπαλλαγὴν ὁσία.

Ὦ Θεοδώρα, ταῖς ἱκεσίαις σου σῶζε, ἀπὸ νόσων παντοίων καὶ κινδύνων, τοὺς προσπεφευγότας τῷ θείῳ σου τεμένει.

Ἵνα ὑμνῶσε, ὦ Θεοδώρα Ὁσία, τὴν ὑγείαν παράσχου σῷ οἰκέτῃ, ταῖς πρὸς τὸν Σωτῆρα ἐν θέρμοις σου πρεσβείαις.

Θεοτοκίον.

Ἱκεσίαις, ταῖς πρὸς Θεόν σου, Παρθένε, τῶν τοῦ βίου δυσχεριῶν με εὐ σῶσον καὶ τὸν σάλον παῦσον ἀσθενειῶν παντοίων.

Ὠδὴ θ' Κυρίως Θεοτόκον

Πλουτοῦντες Θεοδώρα, θήσκην σῶν λειψάνων, κατασπαζόμεθα ταύτην δεόμενος· ῥῦσαι ἡμᾶς ταῖς εὐχαῖς σου Μῆτερ τῶν θλίψεων.

Κινδύνων τῶν τοῦ βίου λύτρωσαι, Ὁσία τὸν σὸν οἰκέτην, ἐν θείαις πρεσβείαις σου, καὶ πάσης νόσου καὶ βλάβης δεινῶν ἀπάλλαξον.

Ἐν θαύμασιν ἀπείροις, βασιλεὺς θεόφρον, ὁ Παντοκράτωρ Θεός σε ἐδόξασε· τούτου θερμῶς ἐκδυσώπει ὑπὲρ τῆς ποίμνης σου.

Θεοτοκίον

Μαρία ὄμβρισόν μοι ἄφεσιν πταισμάτων, καὶ ἀσθενοῦντα ἐπίσκεψαι δέομαι, καὶ συμφοραῖς νῦν ποντούμενον ἐλευθέρωσον.

Ἄξιόν ἐστιν καὶ τὰ μεγαλυνάρια ταῦτα.

Ἔχοντες Ἀρταῖοι θήκην τῶν σῶν λειψάνων θεόφρων Θεοδώρα, ὡς ὀχυρὸν προπύργιον, ταύτῃ προσφεύγουσιν οἱ ἐν νόσοις καὶ τοῖς ὑγείας πάντες ἐπιτυγχάνουσι.

Σέμνωμα τῆς Ἄρτης τὸ ἱερόν, καὶ κλέος Ὁσίων, Θεοδώραν τὴν εὐκλεῆ, πίστει εὐφημοῦμεν δεόμενοι κινδύνων καὶ νόσων λυτρωθῆναι αὐτῆς ἐντεύξεως.

Φύλαττε τὴν ποίμνην δῶρον Θεοῦ, ἐκ κινδύνων πάντων καὶ ἐκ νόσων φθοροποιῶν, πίστει τὴν τιμῶσαν σὸν τάφον, Θεοδώρα, καὶ ἐκ παντοίας βλάβης ταῖς ἱκεσίαις σου.

Καὶ τὸ Πᾶσαι τῶν Ἀγγέλων Τρισάγιον, καὶ
τὸ τροπάριον ἦχ. ά

Τὴν Ἀνάκτων ἁλουργίδα ὡς πανσόφως κατέλιπας, καὶ ἀσκητικοῖς θείοις πόνοις σεαυτὴν ἐνέδωκας, ἁγιασμοῦ γενομένη ἔμπλεως Πανεύφημε, οὕτως ἡμᾶς ἐκνικῆσαι καταξίωσον. Κόσμου καὶ σάρκα καὶ τὸν δεινὸν Κοσμοκράτορα, εἰς ζωὴν δεικνῦσαι φιλόθεον, ὦ ἐπώνυμε τοῦ θεοῦ δωρεῶν, Θεοδώρα ἀείμνηστε· ταῖς θείαις πρὸς τὸν Κτίστην πρεσβείαις σου.

Ἕτερον ἦχος ὁ αὐτός.

Τῶν βασιλίδων τὸ κλέος, Ἀσκητριῶν τε ἀγλάισμα, τῆς Ἀκαρνανίας τὸ εὖχος, καὶ ἰαμάτων ρεῖθρον ἀκένωτον· τῶν λυπουμένων καὶ πτωχῶν τὴν προστάτιν, τὴν ἀκτῖνος δίκην, τὴν Αἰτωλίαν πᾶσαν καταφωτίζουσαν. Ἐπώνυμον τὴν ὄντως δωρεῶν τῶν τοῦ Θεοῦ, τὴν πάνσεπτον καὶ Ὁσίαν, Θεοδώραν τὴν Βασίλισσαν, δεῦτε οἱ Ἀρσαῖοι πάντες πιστῶς, συνελθόντες ὕμνους τιμήσωμεν. Αὐτὴ γὰρ ἀενάως ὑπὲρ ἡμῶν οὐ παύσῃ πρεσβεύουσα.

ἕτερον. ἦχος Γ. Θείας πίστεως.

Χαῖρε ἔχουσα ἡ πόλις Ἄρτα τὸν σὸν πάνσεπτον Ναὸν Ὁσία ἰαμάτων ἰατρεῖον ὑπάρχοντα, τοῖς προσιοῦσιν αὐτῷ μετὰ πίστεως, καὶ αἰτουμένους τὴν θερμήν σου σκέπην καὶ ἀντίληψιν· ὦ Βασίλισσα Θεο-



δώρα ἀξιάγαστε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Ὁ Ἱερεὺς τὴν ἐκτενῆ καὶ Ἀπόλυσις καθ' ἣν ψαλ. τὸ Προσόμοιον. ἦχος Β.' ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.

Δεῦτε οἱ ἐν Ἄρτῃ εὐσεβεῖς, δεῦτε ἐν ᾠδαῖς Θεοδώραν ἀνευφημήσωμεν Βασιλίδων σέμνωμα, Μοναστῶν καλλονήν, πρὸς αὐτὴν ἀνακράζοντες, λύτρωσαι εὐχαῖς σου Θεοδώρα Πάνσεμνε τῶν ἐνεστώτων δεινῶν, πάσης προσβολῆς τε καὶ νόσου, τοὺς τὴν σὴν εἰκόνα τιμῶντας, καὶ τῆς ἀντιλήψεως προστρέχοντας.

Τέλος

---

Μεγαλυνά.. εἰς τὴν τὴν Θεοτόκον Μυρτιδιότισσαν

Ἀγγέλων τὸ κλέος καὶ τῶν πιστῶν Κυθηραίων σκέπη, ἡ προστάτης καὶ βοηθός, καὶ τῶν Ὀρθοδόξων μητρῶον ἐν σὺ δόξα ὑπάρχεις ὦ Παρθένε, σὲ μεγαλύνωμεν.

Εἰς τὸν ἅγιον Βησσαρίωνα Ἀρχιεπίσκοπον Λαρίσσης, Μεγαλυνάρια

Λαρίσσης τὸ κλέος καὶ τῶν πιστῶν καύχημα Ἑλλάδος, Βησσαρίων θαυματουργὲ ρῦσαι τοὺς σοὺς δούλους νόσου πανολεθρίου καὶ λοιμῶν θανάτου, ταῖς ἱκεσίας σου.

Μὴ παύσῃ δεόμενος τοῦ Θεοῦ Βησσαρίων Πάτερ, ὑπὲρ πάντων τῶν εὐσεβῶν. τῶν πίστει τιμώντων χάραν σου τὴν ἁγίαν, καὶ ἐν παντοίαις νόσου λιταῖς σου λύτρωσαι.

Μεγαλυνάρια

ὑπὸ τοῦ Ἄρτης Σεραφεὶμ
εἰς τὸν ἅγιον Ἱερομάρτυρα καὶ Ἰσαπόστολον Κοσμᾶν
τὸν ἑορταζόμενον τὴν 24 Αὐγούστου

Τὸν τῶν Ἱερέων ὑπογραμμὸν τοῦ Ἄθω τὸ κλέος, Αἰτωλίας τὸ θαυμαστὸν εὖχος Μαθητῶν τε τοῦ Χριστοῦ καὶ Μαρτύρων τὸν μιμητὴν τιμῶμεν, Κοσμᾶν τὸν πάνσοφον.

Δέξαι τὰς δεήσεις ἡμῶν Σοφὲ; Κοσμᾶ Θεοφόρε, καὶ ἀπάλλαξον σαῖς εὐχαῖς, πάσης ἐπηρείας ἡμῶν προσγινομένης ἐκ τῶν τῆς ἀσεβείας τέκνων Πανεύφημε.

Φύλαττε καὶ σκέπε ταῖς σαῖς λιταῖς πάντας τοὺς τιμῶντας τὴν ἁγίαν σου ἑορτήν, νόσων καὶ κινδύνων καὶ πάσης ἄλλης βλάβης, Κοσμᾶ δόξα Μαρτύρων καὶ σεμνολόγημα.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

**Σεπτεμβρίου 30. Τοῦ Ἁγ. Ἱερομάρ. Γρηγορίου ἐπισκόπου Μεγάλης Ἀρμενίας καὶ τῶν 32 ἁγίων Παρθενομαρτύρων.** Ἀπολυτίκιον ἦχος δ'.

Ἱερομάρτυς ἀθλητὰ γενναιόφρων, καταβαλὼν τῶν δυσμενῶν παρατάξεις, ὑπὲρ Χριστοῦ ἐνήθλησας στερρότατα· ὅθεν εὐφημοῦμεν σε ὡς λαμπρὸν ἀριστέα, ῥῦσαι τοὺς προστρέχοντας τῷ Ἁγίῳ ναῷ σου, ταῖς πρὸς Χριστὸν λιταῖς σου ὡς ποιμὴν, Γρηγόριε μάκαρ πιστῶν ἡ ἀντίληψις Κοντάκιον ἦχ. δ'. Τοὺς ἀσφαλεῖς.

Τὸν εὐκλεῆ καὶ ἱεράρχην ἅπαντες, ὡς ἀθλητὴν τῆς ἀληθείας σήμερον, οἱ πιστοὶ θείοις ἐν ᾄσμασι, καὶ ὑμνῳδίαις εὐφημήσωμεν Γρηγόριον ποιμένα καὶ διδάσκαλον τὸν ἔκλαμπρον φωστῆρα καὶ ὑπέρμαχον Χριστῷ γὰρ πρεσβεύει τοῦ σωθῆναι ἡμᾶς.

Μεγαλυνάριον

Τὸν ἐν Ἱεράρχαις θαυματουργὸν, καὶ τῆς Ἀρμενίας ὁ προστάτης καὶ βοηθὸς, ὁ λύχνος τοῦ Ἡλίου φωστὴρ τοῦ Θεοῦ Λόγου, Γρηγόριον τὸν μέγαν πάντες τιμήσωμεν.

**Δεκεμβρίου 15 τοῦ Ὁσίου Πατρὸς ἡμῶν Παύλου τοῦ ἐν τῷ Λάτρῳ.** Ἀπολ. ἦχ. δ'.

Ὡς τῶν Ἀσωμάτων ὁμόσκυνον, καὶ πάντων τῶν Ὁσίων συμμέτοχον, παναοίδιμε Παῦλε ὑμνοῦμεν σε, ὅπως δυσωποῦμεν σε, πρεσβεύειν ἑκάστοτε ὑπὲρ ἡμῶν, ὅπως εὕρωμεν ἔλεος.

Κοντάκιον ἦχ. πλαγίου δ'. Τῇ Ὑπερμάχῳ.

Ἀπὸ νεότητος σοφὲ τὰ ὑπὲρ ἔννοιαν, ἐπιποθήσας ἀνδρικῶς, κόσμου τὸν τάραχον κατέλυπες, καὶ γέγονας διὰ θείας πολυτελείας τῆς Τριάδος οἰκητήριον, καὶ ἐφώτισας τοὺς πίστει προσιόντας σοι· ὅθεν κράζωμεν. Χαῖρε Παῦλε πανόλβιε.

(Ἐκ τοῦ Παλαιοῦ Ὡρολογίου)

ΤΕΛΟΣ

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

'Ερανίσθημεν ἐκ διαφόρων βιβλίων τὴν 'Ακολουθίαν εὑρισκομένων ἐν τῇ Βιβλιοθήκῃ μου καθὼς καὶ ἐτυπώθησαν μέχρι τοῦδε αἱ ἑξῆς 'Ακολουθίαι εἰς τιμὰς μόνον διὰ τὰ τυπογραφικὰ ἔξοδα.

'Αγίου Γεωργίου τοῦ τροπαιοφόρου 'Ακολ. Βίος καὶ Παράκλησιν λ. 25

Κωνσταντίνου καὶ 'Ελένης 'Ακολουθία Βίος 24 Οἶκοι καὶ Παράκλησιν καὶ διάφορα Μεγαλυνάρια λ. 30

'Αγίου 'Ελευθερίου 'Ακολουθία Βίος καὶ Παράκλησιν μετὰ διαφόρων μεγαλυναρίων λ. 25

Καὶ 'Αγίου Φανουρίου λεπτὰ 25

Πρὸς εὐχερεστέραν χρῆσιν τῶν ἐν ταῖς 'Αγίαις τοῦ Θεοῦ 'Εκκλησίαις ψαλλόντων αὐτήν.

ὁ ἐλάχιστος ἐν 'Ιερεῦσι

**Γεώργιος Α. Βουτέρης**